καὶ τὸ τῆς ἀδοξίας[3] ἐνεπιθήκη. Ταῦτα ἐχρῆν, ὦ Τρῶες, πρὸς ὑμᾶς διελθεῖν, ἵνα πολλὴν τὴν ἐπιήκειαν προδείξαντες, μετὰ τῆς ἀγαθῆς τύχης ἁπτώμεθα τῶν ὅπλων, εἰ τοῦθ᾽ ὑμῖν ἀρέσκοι.

---

## ΕΚ ΤΩΝ

# ΙΣΑΙΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ

## Α'. Περὶ τοῦ Κλεωνύμου κλήρου.

### Ὑπόθεσις.

Πολύαρχος τρεῖς ἔσχεν υἱοὺς, Κλεώνυμον, Δεινίαν, καὶ τὸν πατέρα τῶν ἀμφισβητούντων, οὗ ἀποθανόντος, ὑπὸ ἐπιτροπῆς ἦσαν Δεινίου. Κατὰ δὲ τοὺς νόμους ἡ τοῦ Κλεωνύμου περιουσία ἀποθανόντος εἰς τοὺς ἀνεψιοὺς ἔμελλεν ἐλθεῖν. Κλεώνυμος δὲ, ὀργιζόμενος κατὰ Δεινίου ἐπιτροπεύοντος τῶν ὀρφανῶν ἀνεψιῶν, ἔγραψε διαθήκας, καὶ ἔθηκε παρὰ τοῖς ἄρχουσιν αὐτὰς, συναινοῦντος Πολυάρχου τοῦ πατρὸς μὲν αὐτοῦ, πάππου δὲ τῶν ὀρφανῶν, ἀπέκλεις δὲ ἐν ταῖς διαθήκαις τούτους τοῦ κλήρου. Μετὰ ταῦτα δὲ, ἀποθανόντος Δεινίου, μετεμελήθη, καὶ λῦσαι αὐτὰς ἐπεχείρησε, καὶ μετεπέμψατο τὸν Ἀστυνόμον, συνέβη δὲ, τοῦ Ἀστυνόμου διατρίβοντος, ἀποθανεῖν Κλεώνυμον· δικάζονται οὖν περὶ τοῦ κλήρου, καὶ τὰς διαθήκας, ἃς παρέχονται οἱ περὶ Φερένικον, καὶ Σίμωνα καὶ Ποσείδιππον ὁμολογοῦσι γράψαι τὸν Κλεώνυμον, καὶ θεῖναι παρὰ τοῖς ἄρχουσιν· ἀλλὰ λέγουσιν, ὅτι μετεμελήθη, ὅτι μετεπέμψατο τὸν Ἀστυνόμον, ὅτι ὁ πάππος αὐτῶν Πολύαρχος προσέταξεν εἴτι πάθοι Κλεώνυμος, δοῦναι αὐτοῖς τὴν οὐσίαν.

§ 1. Πολλὴ μέν[2] ἡ μεταβολή μοι γέγονεν, ὦ ἄνδρες, τελευτήσαντος Κλεωνύμου· ἐκεῖνος γὰρ ζῶν μὲν ἡμῖν κατέλιπε τὴν οὐσίαν, ἀποθανὼν δὲ κινδυνεύειν περὶ αὐτῆς πεποίηκε· καὶ τότε μὲν οὕτως ὑπ᾽ αὐτοῦ σωφρόνως ἐπαιδευόμεθα, ὥστ᾽ οὐδ᾽ ἀκροασόμενοι οὐδέποτ᾽ ἤλθομεν ἐπὶ δικαστήριον, νῦν δὲ ἀγωνιούμενοι περὶ πάντων ἥκομεν τῶν ὑπαρχόντων. Οὐ γὰρ τῶν Κλεωνύμου μόνων ἀμφισβητοῦσιν,[3] ἀλλὰ καὶ τῶν πατρῴων, ὀφείλειν ἐπὶ τούτοις ἐκείνῳ[4] φάσκοντες ἀργύριον. Καὶ οἱ μὲν οἰκεῖοι καὶ οἱ προσήκοντες ἐπὶ τούτοις, οἱ τούτων ἀξιοῦσιν ἡμᾶς καὶ τῶν ὁμολογουμένων, ὧν Κλεώνυμος κατέλιπεν αὐτοῖς, τούτων ἰσομοιρῆσαι· οὗτοι δὲ εἰς τοῦτο ἥκουσιν ἀναισχυντίας,[5] ὥστε καὶ τὰ πατρῷα προσαφελέσθαι ζητοῦσιν ἡμᾶς, οὐκ ἀγνοοῦντες, ὦ ἄνδρες, τὸ δίκαιον, ἀλλὰ πολλὴν ἐρημίαν καταγνόντες.

---

— 3. Καὶ τὸ τῆς ἀδοξίας.) Καὶ ἡ ἀδοξία δηλ. ἐστὶν αὐτῷ προσθήκη· ὅπερ ἐστί· πρὸς δὲ τούτοις προστίθεται αὐτῷ καὶ ἡ ἀδοξία.

§ 1. 2. Πολλὴ μέν.) Ὁ Μὲν βεβαιωτικὸς, ἀνανταπόδοτος· πολλάκις γὰρ ἐν ἀρχῇ λόγου τίθεται ἀπολύτως. — 3. Ἀμφισβητοῦσιν.) Ὑπακούεται, Ἡμῖν οἱ ἐναντίοι, Ποσείδιππος δηλ. καὶ Διοκλῆς. — 4. Ἐκείνῳ.) Τῷ πατρὶ δηλ. φασὶν ἀργύριον ὀφείλειν Κλεωνύμῳ. — 5. Εἰς τοῦτο ... ἀναισχυντίας.) Ἀντὶ Εἰς τοσαύτην ἀναισχυντίαν.

§ 2. Σκέψασθαι γὰρ οἷς ἑκάτεροι[2] πιστεύοντες ὡς ὑμᾶς εἰσεληλύθαμεν. Οὗτοι μὲν διαθήκαις ἰσχυριζόμενοι τοιαύταις ἃς ἐκεῖνος διέθετο μέν, οὐχ ἡμῖν ἐγκαλῶν, ἀλλ' ὀργισθεὶς τῶν οἰκείων τινὶ τῶν ἡμετέρων·[3] ἔλυσε δὲ πρὸ τοῦ θανάτου πέμψας Ποσείδιππον ἐπὶ τὴν ἀρχήν.[4] Ἡμεῖς δὲ γένει μὲν ἐγγυτάτῳ προσήκοντες, χρώμενοι δὲ ἐκείνῳ πάντων οἰκειοτάτῳ, δεδωκότων δ' ἡμῖν καὶ τῶν νόμων κατὰ τὴν ἀγχιστείαν, καὶ αὐτοῦ τοῦ Κλεωνύμου διὰ τὴν φιλίαν τὴν ὑπάρχουσαν αὐτῷ,[5] ἔτι δὲ Πολυάρχου, τοῦ πατρὸς Κλεωνύμου, πάππου δ' ἡμετέρου προστάξαντος, εἴτι πάθοι Κλεώνυμος ἄπαις, ἡμῖν δοῦναι τὰ αὑτοῦ. Τοσούτων τοίνυν[6] ἡμῖν ὑπαρχόντων, οὗτοι καὶ συγγενεῖς ὄντες,[7] καὶ οὐδὲν δίκαιον εἰπεῖν ἔχοντες, οὐκ αἰσχύνονται καταστήσαντες ἡμᾶς εἰς ἀγῶνα περὶ τούτων, περὶ ὧν αἰσχρὸν ἦν ἀμφισβητῆσαι καὶ τοῖς μηδὲν προσήκουσιν.

§ 3. Οὐχ ὁμοίως δέ μοι δοκοῦμεν, ὦ ἄνδρες, διακεῖσθαι πρὸς ἀλλήλους. Ἐγὼ μὲν γὰρ οὐχ ὅτι ἀδίκως κινδυνεύω, τοῦθ' ἡγοῦμαι μέγιστον εἶναι τῶν παρόντων κακῶν, ἀλλ' ὅτι ἀγωνίζομαι πρὸς οἰκείους οὓς οὐδ' ἀμύνεσθαι καλῶς ἔχει. Οὐ γὰρ ἂν ἐλάττω συμφορὰν ἡγησαίμην κακῶς ποιεῖν τούτους ἀμυνόμενος, οἰκείους ὄντας, ἢ κακῶς παθεῖν ἐξ ἀρχῆς ὑπὸ τούτων. Οὗτοι δ' οὐ τοιαύτην ἔχουσι τὴν γνώμην, ἀλλ' ἥκουσιν ἐφ' ἡμᾶς καὶ τοὺς φίλους παρακαλέσαντες, καὶ ῥήτορας παρασκευασάμενοι, καὶ οὐδὲν ἀπολείπονται τῆς αὐτῶν δυνάμεως, ὥσπερ, ὦ ἄνδρες, ἐχθροὺς τιμωρησόμενοι, καὶ οὐκ ἀναγκαίους καὶ συγγενεῖς κακῶς ποιήσοντες.

§ 4. Τὴν μὲν οὖν τούτων ἀναισχυντίαν καὶ τὴν αἰσχροκέρδειαν ἔτι μᾶλλον γνώσεσθε, ἐπειδὰν πάντων ἀκούσητε. Ὅθεν δ' οἶμαι τάχιστ' ἂν ὑμᾶς μαθεῖν περὶ ὧν ἀμφισβητοῦμεν, ἐντεῦθεν ἄρξομαι διδάσκειν. Δεινίας γὰρ ὁ τοῦ πατρὸς ἀδελφὸς ἐπετρόπευσεν ἡμᾶς, θεῖος ὤν, ὀρφανοὺς ὄντας. Κλεωνύμου[2] δ' οὗτος, ὦ ἄνδρες, διάφορος ὢν ἔτυχεν. Ὁπότερος μὲν οὖν αὐτῶν ἦν τῆς διαφορᾶς αἴτιος, ἴσως οὐκ ἐμὸν ἔργον ἐστὶ κατηγορεῖν. Πλὴν τοσοῦ-

---

§ 2. 2. Οἷς ἑκάτεροι.) Ἐν τίσι δηλονότι πράγμασιν ἐπιστεύσαμεν ἡμεῖς τε καὶ οἱ ἐναντίοι, καὶ εἰσεληλύθαμεν πρὸς ὑμᾶς. — 3. Τινὶ τῶν ἡμετέρων.) Τῷ Δεινίᾳ δηλονότι τῷ ἰδίῳ μὲν ἀδελφῷ, θείῳ δὲ τούτων. — 4. Ἐπὶ τὴν ἀρχήν.) Τὸν ἄρχοντα δηλαδὴ τὸν Ἀστυνόμον· ἔστι δὲ Ἀστυνόμος ὁ ἐπὶ τὰς ὁδοὺς, καὶ τὰς οἰκείας ἄρχων· καὶ περὶ τὰς τῶν ἀνθρώπων ἔμβας, καὶ λογομαχίας, καὶ ὕβρεις ἐνασχολούμενος, καὶ ἁπλῶς περὶ κόσμου τῆς πόλεως καὶ εὐταξίας. — 5. Αὐτῷ.) Ἐννοεῖται, Πρὸς ἡμᾶς. — 6. Τοσούτων τοίνυν.) Ὑπακούεται Δικαίων· ᾧ ἀντίκειται τὸ δίκαιον εἰπεῖν ἔχοντες οὐδέν. — 7. Καὶ συγγενεῖς ὄντες.) Ἡμῖν δηλαδή.

§ 4. 2. Κλεωνύμου.) Τὸ Διάφορος ὢν ἔτυχε, ἐνταῦθα μὲν πρὸς γενικήν, ἐν δὲ κεφ. ζ. φησίν· ὅτε Δεινίᾳ διάφορος ὢν ἔτυχε, πρὸς δοτικήν· εὖ δὲ ἔχουσιν ἑκάτερα· ἡ μὲν γὰρ γενικὴ πρὸς τὸ ὄνομα διάφορος, ἡ δὲ δοτικὴ πρὸς τὴν ὑπαρκτικὴν μετοχὴν φέρεται. — 3. Οὐ-

τόν γε ἂν δικαίως αὐτοῖς ἀμφοτέροις μεμψαίμην, ὅτι καὶ φίλοι τέως ὄντες, καὶ προφάσεως οὐδεμιᾶς[3] γενομένης, ἐκ λόγων τινῶν, οὕτως εἰκῇ πρὸς ἀλλήλους ἔχθρας ἀνείλοντο.

§ 5. Ὅτι γοῦν ἐκ ταύτης τῆς ὀργῆς Κλεώνυμος ταύτας ποιεῖται τὰς διαθήκας, οὐχ ἡμῖν ἐγκαλῶν, ὡς ὕστερον ἐσώθη ἔλεγεν.[2] Ὁρῶν δὲ ἡμᾶς ἐπιτροπευομένους ὑπὸ Δεινίου, καὶ δεδιὼς μὴ τελευτήσειεν αὐτὸς ἔτι παῖδας ἡμᾶς καταλιπών, καὶ τῆς οὐσίας ἡμετέρας οὔσης γένοιτο κύριος Δεινίας· ἡγεῖτο γὰρ δεινὸν εἶναι τὸν ἔχθιστον τῶν οἰκείων ἐπίτροπον καὶ κύριον τῶν αὐτοῦ καταλιπεῖν, καὶ ποιεῖν αὐτῷ τὰ νομιζόμενα τοῦτον,[3] ἕως ἡμεῖς ἡβήσαιμεν, ᾧ ζῶν διάφορος ἦν. Ταῦτα διανοηθεὶς ἐκεῖνος εἴτ' ὀρθῶς εἴτε μή, τὰς διαθήκας ταύτας διέθετο. Καὶ εὐθὺς ἐρωτῶντος τοῦ Δεινίου παραχρῆμα, εἴτι ἡμῖν ἢ τῷ πατρὶ ἐγκαλεῖ τῷ ἡμετέρῳ ἀπεκρίνατο πάντων τῶν πολιτῶν ἐναντίον, ὅτι οὐδὲν πονηρὸν ἐγκαλεῖ[4] καὶ ἐμαρτύρησεν ὡς ὀργιζόμενος ἐκείνῳ, καὶ οὐκ ὀρθῶς βουλόμενος, ταῦτα διέθετο. Πῶς γὰρ ἂν εὖ φρονῶν, ὦ ἄνδρες, κακῶς ποιεῖν ἡμᾶς ἠβουλήθη, τοὺς μηδὲν αὐτὸν ἠδικηκότας;

§ 6. Ὕστερον δὲ τούτων, ὃ μέγιστον ἡμῖν τεκμήριον, ὅτι οὐδὲ ταῦτα ἔπραξεν ἡμᾶς βλάπτειν βουλόμενος. Τελευτήσαντός γὰρ Δεινίου, καὶ τῶν πραγμάτων ἡμῖν πονήρως ἐχόντων, οὐδὲ περιεῖδεν ἡμᾶς οὐδενὸς[2] ἐνδεεῖς ὄντας, ἀλλ' αὐτοὺς μὲν[3] εἰς τὴν οἰκείαν τὴν αὐτοῦ κομισάμενος ἐπαίδευε, τὴν δ' οὐσίαν ἀφελέσθαι τῶν χρηστῶν ἐπιβουλευσάντων, ἔσωσεν ἡμῖν·[4] ἐπεμελεῖτό τε ὁμοίως τῶν ἡμετέρων, ὥσπερ τῶν αὐτοῦ πραγμάτων. Καί τοι χρὴ θεωρεῖν αὐτοῦ τὴν ἔννοιαν ἐκ τούτων τῶν ἔργων μᾶλλον, ἢ ἐκ τῶν διαθηκῶν· καὶ τεκμηρίοις χρῆσθαι μὴ τοῖς μετ' ὀργῆς πραχθεῖσιν (ἐν οἷς ἅπαντες πεφύκαμεν ἁμαρτάνειν) ἀλλ' ἀφ' ὧν ὕστερον φανερὰν αὐτοῦ τὴν αὐτοῦ διάνοιαν ἐποίησεν.

§ 7. Ἔτι γὰρ μᾶλλον ἐν τοῖς τελευταίοις ἐδήλωσεν ὡς εἶχε πρὸς ἡμᾶς. Ἤδη γὰρ ἀσθενῶν ταύτην τὴν νόσον, ἐξ ἧς ἐτελεύτησεν, ἠβουλήθη ταύτας τὰς διαθήκας ἀνελεῖν· καὶ προσέταξε

---

δεμιᾶς.) Ὑπακούεται, Ἀληθοῦς καὶ δικαίας, ἢ γοῦν ὑγιοῦς καὶ εὐσχήμονος.

§ 5. 2. Ὡς ὕστερον ἐσώθη ἔλεγεν.) Ἔλεγεν ὕστερον, ὡς ἐσώθη, μετὰ τὸν θάνατον τοῦ Δεινίου σωθεὶς τρόπον τινά, καὶ συμφρονήσας, ἔλεγεν ὅτι ἐκ ταύτης τῆς ὀργῆς ὁ Κλεώνυμος ποιεῖται τὰς διαθήκας, οὐχ ἡμῖν ἐγκαλῶν, ἀλλ' ὁρῶν κτλ. ὁ γοῦν Δὲ ἀντὶ τοῦ Ἀλλὰ. θετικός. — 3. Τοῦτον.) Τὸν Δεινίαν δηλ. ποιεῖν τὰ περὶ τῆς ταφῆς αὐτοῦ νομιζόμενα. — 4. Οὐδὲν πονηρὸν ἐγκαλεῖ.) Ἡμῖν δηλαδὴ καὶ τῷ πατρὶ τῷ ἡμετέρῳ.

§ 6. 2. Οὐδενός.) Ὑπακούεται τῶν ἀναγκαίων· οἷον· οὐδὲ περιεῖδεν ἡμᾶς ἐν οὐδενὶ τῶν ἀναγκαίων, ὄντας ἐνδεεῖς· καὶ ἔστιν ἡ γενικὴ διὰ τὴν Περί· ἤτοι οὐδὲν περιεῖδεν ἡμᾶς περὶ οὐδενός. — 3. Αὐτοὺς μέν.) Ἡμᾶς δηλαδή. — 4. Ἔσωσεν ἡμῖν.) Χαριζόμενος δηλαδὴ καὶ περιποιούμενος ἡμῖν, ἔσωσε τὴν οὐσίαν τῶν χρημάτων ἐκ τῶν ἐπιβουλευσάντων ἀφελέσθαι.

ΕΥ.Α. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Ποσειδίππῳ τὴν ἀρχὴν εἰσαγαγεῖν.[2] Ὁ δὲ οὐ μόνον οὐκ εἰσήγαγεν, ἀλλὰ καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν, ἀπέπεμψεν. Ὀργισθεὶς δὲ τούτῳ Κλεώνυμος, πάλιν εἰς τὴν ὑστεραίαν Διοκλεῖ καλέσαι τοὺς ἄρχοντας προσέταξε. Καὶ, οὐχ οὕτως[3] ὡς ἀσθενῶν διακείμενος, ἀλλ᾽ ἔτι πολλῶν ἐλπίδων οὐσῶν, ἐξαπίνης τῆς νυκτὸς ταύτης ἐτελεύτησε.

§ 8. Πρῶτον μὲν οὖν παρέξομαι μάρτυρας, ὡς οὐχ ἡμῖν ἐγκαλῶν, ἀλλὰ Δεινίᾳ πολεμῶν, ταύτας τὰς διαθήκας διέθετο. Ἔπειτα ὡς, ἐκείνου τελευτήσαντος, ἐπεμελεῖτό τε τῶν ἡμετέρων ἁπάντων, καὶ αὐτὸς ἐπαίδευεν εἰς τὴν οἰκίαν αὑτοῦ κομισάμενος. Πρὸς δὲ τούτοις, ὡς Ποσείδιππον ἔπεμψεν ἐπὶ τοῦ Ἀστυνόμου· οὗτος δ᾽ οὐ μόνον αὐτὸν οὐκ εἰσεκάλεσεν, ἀλλὰ καὶ ἐλθόντα ἐπὶ τὴν θύραν Ἀρχωνίδην ἀπέμπεψεν. Ὡς οὖν ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας. Μ ά ρ τ υ ρ ε ς. Ἔτι τοίνυν ὡς οἱ τούτων[2] φίλοι καὶ Κιφήσανδρος ἠξίουν νείμασθαι τὴν οὐσίαν, καὶ τὸ τρίτον μέρος ἡμᾶς ἔχειν ἁπάντων τῶν Κλεωνύμου. Καὶ τούτων μοι κάλει μάρτυρας. Μ ά ρ τ υ ρ ε ς.

§ 9. Ἡγοῦμαι μὲν τοίνυν, ὦ ἄνδρες, πᾶσι τοῖς τὸν κλῆρον ἀμφισβητοῦσιν, ὅταν ἀποφήνωσι σφᾶς αὐτοὺς, ὥσπερ ἡμεῖς, καὶ τῷ γένει προτέρους ὄντας, καὶ τῇ φιλίᾳ τῇ πρὸς τὸν τετελευτηκότα, περίεργον εἶναι τοὺς ἄλλους λόγους λέγειν. Ἐπειδὴ δὲ τούτων οὐδετέρου[2] ἔχοντες, οὕτω τολμῶσι τῶν οὐ προσηκόντων ἀμφισβητεῖν, καὶ ψευδεῖς παρασκευάζονται λόγους, βούλομαι βραχέα καὶ περὶ τούτων αὐτῶν εἰπεῖν. Ἰσχυρίζονται γὰρ ταῖς διαθήκαις λέγοντες ὡς Κλεώνυμος μετεπέμπετο τὴν ἀρχὴν,[3] οὐ λύσαι βουλόμενος αὐτὰς, ἀλλ᾽ ἐπανορθῶσαι καὶ βεβαιῶσαι σφίσιν αὐτοῖς τὴν δωρεάν. Ὑμεῖς δὲ σκοπεῖσθαι τὰς διαθήκας τὰς μετ᾽ ὀργῆς γενομένας πότερα εἰκός ἐστι βουληθῆναι Κλεώνυμον ἀνελεῖν, ἐπειδὴ πρὸς ἡμᾶς οἰκείως ἔσχεν, ἢ σκοπεῖν ὅπως ἔτι βεβαιότερον ἡμᾶς ἀποστερήσειε τῶν αὑτοῦ. Τοῖς μὲν γὰρ ἄλλοις κἀκείνων, ὧν ἂν ὀργισθέντες τοὺς οἰκείους ἀδικήσωσιν, ὕστερον μεταμέλει. Οὗτοι δὲ ἐκεῖνον ἀποφαίνουσιν ἐν ᾧ πρὸς ἡμᾶς οἰκειότατα διέκειτο, μᾶλλον βεβαιοῦν τὴν διαθήκην βουλόμενον, ἣν ὀργιζόμενος ἐποιήσατο.

§ 10. Ὥστ᾽ εἰ καὶ ἡμεῖς ὁμολογήσομεν ταῦτα, καὶ ὑμεῖς αὐτοὶ πιστεύσοιτε, ἐνθυμεῖσθε, ὅτι παράνοιαν αὐτοῦ τὴν μεγίστην

---

§ 7. 2. Τὴν ἀρχὴν Εἰσαγαγεῖν.) Εἰσαγαγεῖν τὴν ἀρχήν· τοῦτ᾽ ἔστι τοὺς ἄρχοντας πρὸς ἑαυτόν. — 3. Καὶ οὐχ οὕτως.) Ὑπακούεται ἐποίησεν.

§ 8. 2. Οἱ τούτων.) Ποσείδιππον ἐννοεῖ καὶ τὸν ἀδελφὸν Διοκλέα, καὶ τοὺς τούτοις φίλους.

§ 9. 2. Τούτων οὐδέτερον.) Οἱ οὐδέτερον τούτων ἔχοντες· μὴ δηλονότι πρότεροι εἰσὶ τῷ γένει, καὶ τῇ φιλίᾳ ὄντες. — 3. Μετεπέμπετο τὴν ἀρχήν.) Ἀντὶ τοῦ παρ᾽ ἡμῖν, Ἔστελλε καὶ ἔκραζε ἵνα ἔλθωσιν οἱ ἄρχοντες.

§ 10. 2. Ἠ.) Τοῦτο δηλ. τὸ ἐξῆς

οὗτοι κατηγοροῦσι. Τίς γὰρ ἂν γένοιτο ταύτης μανία μείζων, ἢ[2] τότε μὲν, ὅτε Δεινίᾳ διάφορος ὢν ἔτυχεν, ἡμᾶς κακῶς ποιεῖν τε, καὶ διατίθεσθαι τοιαύτας διαθήκας, ἐξ ὧν οὐκ ἐκεῖνον ἐτιμωρεῖτο, ἀλλὰ τοὺς οἰκειοτάτους ἠδίκει· νυνὶ δὲ χρώμενος ἡμῖν,[3] καὶ περὶ πλείστου[4] ποιούμενος ἁπάντων, μόνους ἐβουλήθη τοὺς ἀδελφιδοῦς, ὡς οὗτοι φασὶν, ἀκλήρους εἶναι τῶν ἑαυτοῦ; Καὶ τίς ἂν εὖ φρονῶν, ὦ ἄνδρες, τοιαῦτα περὶ τῶν αὑτοῦ βουλεύσαιτο; Ὥστ' ἐκ τούτων τῶν λόγων ῥᾳδίαν ὑμῖν τὴν διάγνωσιν πεποιήκασι περὶ αὐτῶν. Εἰ μὲν γὰρ ἀνελεῖν τὰς διαθήκας βουλόμενος μετεπέμπετο τὴν ἀρχὴν, ὥσπερ ἡμεῖς φαμὲν, οὐδεὶς ἔνεστι τοιούτοις λόγος· εἰδ' οὕτως παραφρονῶν ἔτυχεν, ὥσθ' ἡμᾶς περὶ ἐλαχίστου[5] ποιεῖσθαι τοὺς γένει πρωτεύοντας,[6] καὶ χρωμένους αὐτῷ πάντων οἰκειότατα, δικαίως ἂν δήπου τὰς τοιαύτας διαθήκας ἀκύρους ποιήσητε.

§ 11. Ἔτι τοίνυν ἐνθυμεῖσθε, ὅτι φάσκοντες καλεῖν τὴν ἀρχὴν τὸν Κλεώνυμον,[2] ἵνα βεβαιώσῃ τὴν αὐτῶν δωρεὰν, προσταχθὲν[3] αὐτοῖς, οὐκ ἐτόλμησαν εἰσαγαγεῖν, ἀλλὰ καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν, ἀπέπεμψαν. Καὶ δυοῖν τοι ἐναντιωτάτην θάτερα μέλλοντες, ἢ τὴν οὐσίαν ἕξειν βεβαιοτέραν, ἢ τοῦ νῦν ἐν ὑμῖν ἀγῶνος ἀπαλλαγήσεσθαι, οὐκ ἠθέλησαν. Ἀλλ' ἐπειδὴ τὸ πρᾶγμα εἰς ἡμᾶς ἀφῖκται, καὶ ὑμεῖς κύριοι γεγόνατε, βοηθήσατε καὶ ἡμῖν, καὶ ἐκείνῳ τῷ ἐν ᾅδου ὄντι· καὶ μὴ περιίδητε, πρὸς θεῶν καὶ δαιμόνων, δέομαι ὑμῶν, προπηλακισθέντα αὐτὸν ὑπὸ τούτων. Ἀλλὰ μεμνημένοι τοῦ νόμου, καὶ τοῦ ὅρκου, ὃν ὀμωμόκατε, καὶ τῶν εἰρημένων ὑπὲρ τοῦ πράγματος, τὰ δίκαια καὶ τὰ εὔορκα κατὰ τοὺς νόμους ψηφίσασθε.

## Β΄. Ὑπὲρ τοῦ Πύῤῥου Κλήρου.

### Ὑπόθεσις.

Πύῤῥου τὸν ἕτερον τῶν τῆς ἀδελφῆς υἱῶν υἱοποιησαμένου Ἔνδιον, καὶ τούτου πλέον ἢ εἴκοσι ἔτη τὸν κλῆρον κατασχόντος, εἶτα ἀποθανόντος, Ξενοκλῆς λαχὼν τῶν χρημάτων, ὑπὲρ Φίλης, τῆς ἑαυτοῦ γυναικὸς, διεμαρτύρησεν εἶναι αὐτὴν Πύῤῥου γνησίαν θυγατέρα, ἀμφισβητούσης τοῦ κλήρου τῆς Ἐνδίου μητρός· καὶ ἑάλω ψευδομαρτυριῶν, Νικοδήμου καὶ αὐτοῦ μαρτυρήσαντος, ἐγγυῆσαι Πύῤῥῳ τὴν ἀδελφὴν κατὰ τοὺς νόμους, ἐξ ἧς γεγονέναι τὴν Φίλην. Ὁ Ἐνδίου δὲ

— 3. Χρώμενος ἡμῖν.) Ὑπονοεῖται Οἰκείως. Τὸ δὲ ἀπαρέμφατον εἰς ὀρθὸν μετέβαλλε· οἷον ἐπιλελησμένος τὸ πλάγιον τοῦ λόγου. — 4. Περὶ πλείστου.) προτιμῶν δηλ. ἁπάντων. — 5. Περὶ ἐλαχίστου) Περίφρ. ἀντὶ Καταφρονεῖν. — 6. Τοὺς γένει πρωτεύοντας.) Κατ' ἐπεξήγησιν τοῦτό γε· τοὺς πρωτεύοντας δηλ. γένει.

§ 11. 2. Κλεώνυμον.) Λέγοντες δηλ. ὅτι ὁ Κλεώνυμος μετεπέμψατο τὸν ἄρχοντα Ἀστυνόμον, ἵνα βεβαιώσῃ κ.τ.λ. — 3. Προσταχθέν.) Ἀπολύτως κατὰ τὸν τῶν ἀπροσώπων λόγον· ὁ δὲ νοῦς. Καίτοι προσετάχθη αὐτοῖς ὑπὸ Κλεωνύμου, ὅμως οὐκ ἐτόλμησαν εἰσαγαγεῖν τὸν Ἀστυνόμον· οὐ μὴν ἀλλὰ καὶ ἐλθόντα ἀπέπεμψαν, ὅπου ἕνεκα ἦ καὶ τἄλ.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... Ε.Γ. ΑΠΑΣ ΚΑΤΙ ΙΩΑΝΝΙΝΑ 2006

**ἀδελφὸς νόθην εἶναί φησιν, ἐξ ἑταίρας Πύῤῥῳ γενομένην, καὶ οὕτως ὑπὸ Ἐνδίου ἐκδοθῆναι Ξενοκλεῖ. Ἡ στάσις, στοχασμός. Τὸ δὲ ἔγκλημα, ψευδομαρτυριῶν, κατὰ τοῦ Νικοδήμου.**

§ 1. Ἄνδρες δικασταί, ὁ ἀδελφὸς τῆς μητρὸς τῆς ἐμῆς, Πύῤῥος, ἄπαις ὢν γνησίων παίδων,[2] ἐποιήσατο Ἔνδιον, τὸν ἀδελφὸν τὸν ἐμόν, υἱὸν αὑτῷ· ὃς κληρονόμος ὢν τῶν ἐκείνου, ἐβίω πλείω ἔτη ἢ εἴκοσι· καὶ ἐν χρόνῳ τοσούτῳ, ἔχοντος ἐκείνου τὸν κλῆρον, οὐδεὶς πώποτε προσεποιήσατο, οὐδ' ἠμφισβήτησε τῆς κληρονομίας ἐκείνῳ. Τελευτήσαντος δὲ τοῦ ἀδελφοῦ πέρυσιν, ὑπερβᾶσα τὸν τελευταῖον κληρονόμον,[3] γνησία θυγάτηρ τοῦ ἡμετέρου θείου ἥκει φάσκουσα εἶναι Φίλη, καὶ κύριος[4] Ξενοκλῆς Κύπριος[5] τοῦ Πύῤῥου κλήρου λαχεῖν τὴν λῆξιν ἠξίωσεν, ὃς τετελευτήκει πλείω, ἢ εἴκοσιν ἔτη, τρία τάλαντα τῷ κλήρῳ ἐπιγραψάμενος.[6] Ἀμφισβητούσης δὲ τῆς μητρός, τῆς ὑμετέρας, ἀδελφῆς δὲ Πύῤῥου, ὁ κύριος τῆς εἰληχυίας τοῦ κλήρου γυναικὸς ἐτόλμησε διαμαρτυρῆσαι μὴ ἐπίδικον[7] τῇ ἡμετέρᾳ μητρὶ τὸν τοῦ ἀδελφοῦ κλῆρον εἶναι, ὡς οὔσης γνησίας θυγατρὸς Πύῤῥῳ, οὗ ἦν ἐξ ἀρχῆς ὁ κλῆρος. Ἐπισκηψάμενοι δ' ἡμεῖς, καὶ εἰς ὑμᾶς εἰσαγαγόντες τὸν διαμαρτυρῆσαι τολμήσαντα, μετὰ ταῦτα ἐκεῖνόν τε ἐξελέγξαντες περιφανῶς τὰ ψευδῆ μεμαρτυρηκότα, τὴν τῶν ψευδομαρτυριῶν δίκην εἵλομεν[8] παρ' ὑμῖν, καὶ τουτονὶ Νικόδημον παραχρῆμα ἐξηλέγξαμεν ἐν τοῖς αὐτοῖς δικασταῖς, ἀναισχυντότατον τῇ μαρτυρίᾳ ὄντα ταύτῃ· ὅς γε ἐτόλμησε μαρτυρῆσαι ἐγγυῆσαι τῷ θείῳ τῷ ἡμετέρῳ τὴν ἀδελφὴν τὴν ἑαυτοῦ, γυναῖκα εἶναι κατὰ τοὺς νόμους.

§ 2. Ὅτι μὲν οὖν καὶ ἐν τῇ προτέρᾳ δίκῃ ἡ τούτου μαρτυρία[2] ψευδὴς ἔδοξεν εἶναι, ὁ τόθ' ἑαλωκὼς μάρτυς σαφέστατα τοῦτον ἐξελέγχει. Εἰ γὰρ μὴ ἐδόκει οὗτος[3] τὰ ψευδῆ τότε μαρτυρῆσαι,

---

§ 1. 2. Ἄπαις ὢν . . . παίδων.) Κατ' ἐπίτασιν τῶν Παίδων ἵνα προσθῇ τὸ Γνησίων· εἶχε γὰρ θυγατέρα τὴν Φίλην μὴ οὖσαν γνησίαν. — 3. Ὑπερβᾶσα . . . κληρονόμον.) Ὑπερβῆναι κληρονόμον λέγεται, ὁπόταν χωρίς τινος ἀντιλογίας τὸν ἔσχατον κληρονομήσαί τις ἡσύχως οἴεται, καὶ κατασχεῖν τὸν κλῆρον ἀποθανόντος ἐκείνου. — 4. Καὶ κύριος.) Ὑπακούεται Αὐτῆς ὤν. — 5. Κύπριος.) Οὐχ ἀπὸ τῆς νήσου Κύπρου ὤν, ἀλλ' ἀπό τινος κώμης εἴτ' οὖν Δήμου τῆς Ἀττικῆς οὕτως ὀνομαζομένης ἀπὸ τοῦ ὀνόματος τῆς νήσου. — 6. Ἐπιγραψάμενος.) Ξενοκλῆς ἐν τῇ πρὸς τοὺς κριτὰς γραφῇ, μόνον νόμιμον κληρονόμον αὐτὸν εἶναι ἔλεγε, τρία τάλαντα τὸν κλῆρον τοῦτον ἐτιμήσατο ὧδε, ἐὰν τὸν ἀνταιτοῦντα, καὶ αἴτιον ταύτης τῆς δίκης, νικήσῃ, τρία τάλαντα τίσαι ἐκεῖνον αὐτῷ, αὐτὸν δὲ νικηθέντα, εἰ τύχοι, μηδέν. — 7. Ἐπίδικον.) Οὐ χρὴ καταλειφθῆναι δηλαδὴ τῇ μητρὶ τῇ ἡμετέρᾳ τὸν κλῆρον, ὡς οὐδενὸς ἄλλου κληρονόμου ὄντος. — 8. Δίκην εἵλομεν.) Δίκην αἱρεῖν, τὸ Νικᾶν ἐν τῇ δίκῃ σημαίνει, τὸ παρ' ἡμῖν, ἐκερδήσαμεν τὴν κρίσιν.

§ 2. 2. Μαρτυρία.) Σημείωσαι δὲ ὅτι, ἐὰν πρὸς Νικόδημον ἀναφέρηται, καλῶς ἔχει μαρτυρίαν λέγειν, οὗτος γὰρ ἐστὶν ὁ μαρτυρήσας· ἐὰν δὲ πρὸς Ξενοκλέα, διαμαρτυρίαν λέγειν χρή· κλῆσις γὰρ μαρτύρων ἐπὶ τὸ δικαστήριον ἡ διαμαρτυρία. — 3. Οὗτος.) Ὁ

ΙΩΑΝΝΙΝΑ 2006

δηλονότι ἐκεῖνος[4] τ' ἂν ἀποφυγὼν τὴν διαμαρτυρίαν[5] ἀπῆλθε, καὶ κληρονόμος ἦν τῶν τοῦ θείου ἡ διαμαρτυρηθεῖσα γνησία θυγάτηρ εἶναι· ἀλλ' οὐκ ἂν ἡ ἡμετέρα κατέστενε μήτηρ. Ἁλόντος δὲ τοῦ μάρτυρος, καὶ ἀποστάσης τοῦ κλήρου τῆς ἀμφισβητούσης[6] γνησίας θυγατρὸς Πύῤῥῳ εἶναι, μεγάλη ἀνάγκη ἅμα καὶ τὴν τούτου μαρτυρίαν ἑαλωκέναι. Περὶ γὰρ αὐτοῦ τούτου ὁ διαμαρτυρήσας τὴν τῶν ψευδομαρτυριῶν δίκην ἠγωνίζετο, πότερον ἐξ ἐγγυητῆς ἢ ἐξ ἑταίρας ἡ ἀμφισβητοῦσα τοῦ κλήρου τῷ θείῳ γυναικὸς εἴη, γνώσεσθε δ' ἀκούσαντες καὶ ὑμεῖς τῆς τε ἀντωμοσίας[7] τῆς ἡμετέρας καὶ τῆς τούτου[8] μαρτυρίας, καὶ τῆς ἀλούσης διαμαρτυρίας. Ἀναγίνωσκε[9] λαβὼν ταςδὶ αὐτοῖς. Ἀ ν τ ω μ ο σ ί α. Μ α ρ τ υ ρ ί α. Δ ι α μ α ρ τ υ ρ ί α. Ὡς μὲν ἔδοξε παραχρῆμα εὐθὺς τότε τὰ ψευδῆ μαρτυρῆσαι Νικόδημος, ἐπιδέδεικται τότε πᾶσι· προσήκει δὲ καὶ παρ' ὑμῖν τοῖς περὶ αὐτοῦ τούτου τὴν δίκην μέλλουσι ψηφιεῖσθαι, ἐξελεγχθῆναι τὴν τούτου μαρτυρίαν.

§ 3. Ἐπιθυμῶ δὲ πρῶτον μὲν παρ' αὐτοῦ τούτου πυθέσθαι, ἥν τινα ποτὲ προῖκα φησὶν ἐπιδοὺς ἐκδοῦναι τὴν ἀδελφὴν ὁ μεμαρτυρηκὼς τῷ τὸν τριτάλαντον οἶκον κεκτημένῳ.[2] Εἶτα πότερον ἡ ἐγγυητὴ γυνὴ ἀπέλιπε τὸν ἄνδρα ζῶντα, ἢ τελευτήσαντος τὸν οἶκον αὐτοῦ.[3] Καὶ παρ' ὅτου ἐκομίσατο τὴν τῆς ἀδελφῆς προῖκα οὗτος, ἐπειδὴ τετελευτηκὼς ἦν, ᾧ μεμαρτύρηκεν[4] οὗτος αὐτὴν ἐγγυῆσαι. Ἢ, εἰ μὴ ἐκομίζετο, ὁποίαν δίκην σίτου, ἢ τῆς προικὸς[5] αὐτῆς, ἐν εἴκοσιν ἔτεσι τῷ ἔχοντι τὸν κλῆρον δικάσασθαι ἠξίωσεν,[6] ἢ εἴ του ἀνθρώπων ἐναντίον προσῆλθεν ἐγκαλῶν τῷ κληρονόμῳ περὶ τῆς προικὸς τῆς ἀδελφῆς, ἐν χρόνῳ τοσούτῳ. Περί τε οὖν τούτων ἡδέως ἂν πυθοίμην, ὅ,τι ποτ' οὖν[7] τὸ αἴτιον τὸ μηδὲν τούτων γεγενῆσθαι περὶ τῆς ἐγγυητῆς (ὡς μεμαρτύρηκεν οὗτος) γυναικός· καὶ πρὸς τούτοις, εἴτις ἄλλος ἐγγυητὴν ἔσχε τὴν τούτου ἀδελφὴν γυναῖκα, ἢ τῶν πρότερον χρησαμένων, πρὶν γνῶναι

---

Νικόδημος. — 4. Ἐκεῖνος.) Ὁ Ξενοκλῆς. — 5. Ἀποφυγὼν τὴν διαμαρτυρίαν.) Ἀποφεύγειν δίκην, γραφὴν, αἰτίαν, σημαίνει τὸ, γραφῆς, αἰτίας, ἐλευθερωθῆναι. — 6. Ἀμφισβητούσης.) Τῆς ἀμφισβητούσης, ὅτι ἐστὶ γνησία θυγάτηρ Πύῤῥῳ. — 7. Ἀντωμοσίας.) Ἀντωμοσία ἐστίν· ὅρκον, ὃν ὁ κατήγορος ἀντομνύει, ἦ μὴν μὴ ἀδικεῖν· ἢ γράμματά τινα, ἃ γράφουσιν ὅ τε κατηγορούμενος καὶ ὁ κατηγορῶν, καὶ ἀποφέρουσι πρὸς τὴν ἀρχήν· ἔνθα ἀντομνύει ἑκάτερος αὐτῶν· ὁ μὲν, ὅτι τἀληθῆ κατηγορήσει, ὁ δὲ, ὅτι τἀληθῆ ἀπολογήσεται. — 8. Τῆς τούτου.) Τοῦ Νικοδήμου δηλαδή. — 9. Ἀναγίνωσκε.) Ὦ γραμματεῦ.

§ 3. 2. Τῷ . . . κεκτημένῳ.) Ἡ δοτικὴ πρὸς τὸ Ἐκδοῦναι ἀναφέρεται· ἡ σύνταξις. Ἥν τινά ποτε προῖκα ἐπιδοὺς, ὁ μεμαρτυρηκὼς Νικόδημος, φησὶν ἐκδοῦναι τὴν ἀδελφὴν Πύῤῥῳ τῷ κεκτημένῳ τὸν τριτάλαντον οἶκον. — 3. Τὸν οἶκον αὐτοῦ.) Ἀπέλιπεν· ἀπὸ κοινοῦ. — 4. Ὧ μεμαρτύρηκεν.) Ἡ σύνταξις· Ὧ ἐγγυῆσαι αὐτὴν μεμαρτύρηκεν οὗτος. — 5. Δίκην σίτου, ἢ τῆς προικός.) Πότε ἐκαλεῖθησαν περὶ τῆς τροφῆς καὶ τῆς προικὸς αὐτῆς. — 6. Ἠξίωσεν.) Ὁ Νικόδημος. 7. — Ὅ,τι ποτ' οὖν.) Ἐννοεῖται ἐστίν, ἢ ἦν.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ.Δτης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸν ἡμέτερον θεῖον αὐτήν· ἢ ὅσοι ἐκείνου γινώσκοντος ἐπλησίαζον αὐτῇ, ἢ ὅσοι ὕστερον ἐπλησίαζον τετελευτηκότος ἐκείνου. Δῆλον γὰρ, ὅτι τὸν αὐτὸν τρόπον ὁ ἀδελφὸς αὐτὴν ἅπασι τοῖς πλησιάζουσιν ἐνδεδώκει· περὶ ὧν εἰ δεήσειε καθ' ἕκαστον διελθεῖν, οὐκ ἂν πάνυ μικρὸν ἔργον γένοιτο.

§ 4. Ἐὰν μὲν οὖν ὑμεῖς κελεύητε, περὶ ἐνίων μνησθείην ἂν αὐτῶν· εἰδέ τισιν ὑμῶν ἀηδές ἐστιν ἀκούειν, ὥσπερ ἐμοὶ λέγειν τι περὶ τούτων, αὐτὰς τὰς μαρτυρίας ὑμῖν παρέξομαι τὰς μαρτυρηθείσας ἐν τῇ προτέρᾳ δίκῃ· ὧν οὐδεμιᾷ ἐπισκήψασθαι ἠξίωσαν οὗτοι.[2] Καί τοι ὅπου κοινὴν αὐτὴν ὡμολογήκασιν εἶναι τοῦ βουλομένου[3] τὴν γυναῖκα, πῶς ἂν εἰκότως ἡ αὐτὴ γυνὴ, ἐγγυητὴ δόξειεν εἶναι; Ἀλλαμὴν ὁπότε μὴ ἐπεσκημμένοι εἰσὶ ταῖς περὶ αὐτοῦ τούτου μαρτυρίαις ὡμολογηκότες εἰσὶ ταῦτα. Ἀκούσαντες δὲ καὶ ὑμεῖς αὐτῶν τῶν μαρτυριῶν, γνώσεσθε ὡς οὗτός τε περιφανῶς τὰ ψευδῆ μεμαρτύρηκε, καὶ ὀρθῶς κατὰ τοὺς νόμους οἱ δικάσαντες τὴν δίκην ἔγνωσαν, τὴν κληρονομίαν μὴ προσήκειν τῇ μὴ ὀρθῶς γεγενημένῃ γυναικί. Ἀναγίνωσκε· σὺ δ' ἐπίλαβε[4] τὸ ὕδωρ. Μαρτυρία.

§ 5. Ὡς μὲν ἑταίρα ἦν τῷ βουλομένῳ, καὶ οὐ γυνὴ τοῦ ὑμετέρου θείου, ἣν οὗτος ἐγγυῆσαι ἐκείνῳ μεμαρτύρηκεν, ὑπὸ τῶν ἄλλων οἰκείων καὶ ὑπὸ τῶν γειτόνων τῶν ἐκείνου μεμαρτύρηται πρὸς ὑμᾶς· οἳ μάχας, καὶ κώμους, καὶ ἀσέλγειαν πολλὴν, ὁπότε ἡ τούτου ἀδελφὴ εἴη παρ' αὐτῷ, μεμαρτυρήκασι γίνεσθαι περὶ αὐτῆς. Καί τοι οὐδήπουγε ἐπὶ γαμετὰς γυναῖκας οὐδεὶς ἂν κωμάζειν τολμήσειεν· οὐδὲ αἱ γαμεταὶ γυναῖκες ἔρχονται μετὰ τῶν ἀνδρῶν ἐπὶ τὰ δεῖπνα, οὐδὲ συνδειπνεῖν ἀξιοῦσι μετὰ τῶν ἀλλοτρίων, καὶ ταῦτα μετὰ τῶν ἐπιτυχόντων. Ἀλλαμὴν τῷγε μεμαρτυρηκότι οὐδ' ἐπισκήψασθαι οὗτοι ἠξίωσαν. Καὶ ὡς ἀληθῆ λέγω, ἀναγίνωσκε πάλιν αὐτοῖς τὴν μαρτυρίαν.[2] Μαρτυρία. Ἀνάγνωθι δὴ καὶ τὰς περὶ τῶν πλησιασάντων αὐτῇ μαρτυρίας, ἵνα εἰδῶσιν, ὅτι ἑταίρα τε ἦν τοῦ βουλομένου, καὶ ὅτι οὐδ' ἐξ ἑνὸς ἄλλου φαίνεται τεκοῦσα. Ἀναγίνωσκε αὐτοῖς. Μαρτυρίαι.

§ 6. Ὡς μὲν τοίνυν ἦν κοινὴ τῷ βουλομένῳ, ἣν οὗτος ἐγγυῆ-

§ 4. 2. Οὗτοι.) Νικόδημος δηλαδὴ ἡ ἀδελφὴ αὐτοῦ, ἡ θυγάτηρ αὐτῆς, καὶ ὁ Ξενοκλῆς. — 3. Τοῦ βουλομένου.) Ὑπακούεται, αὐτῇ πλησιάζειν, ἢ αὐτῇ χρῆσθαι. — 4. Σὺ δ' ἐπίλαβε.) Ἦν ἐν ἀγγείῳ ὕδωρ, ὅπερ ἐξ ὀπῆς τινος σμικροτάτης ἐξέχεῖτο· καὶ τοσοῦτον ἔδει τὸν ῥήτορα λέγειν χρόνον, μέχρις ὅτε τὸ ὕδωρ ἐλλείψει· ἐλλίποντος γὰρ, παύεται· τοῦτο τὸ ὕδωρ ἐπίσχον, ὅτε μαρτυρίας, ἢ ψηφίσματα, ἢ νόμους ἀνεγίνωσκον· ὅθεν κἀνταῦθα παρακελεύεται τὸν ἐπιστατοῦντα τοῦ ὕδατος ἐπισχεῖν αὐτό.

§ 5. 2. Τὴν μαρτυρίαν.) Τὴν Νικοδήμου, ἐν ᾗ ἐμαρτύρει ὅτι ἡ ἀδελφὴ αὐτῷ, γυνὴ ἦν κατὰ νόμους Πύῤῥου, καὶ ἡ θυγάτηρ αὐτῆς Φίλη, γνησία αὐτοῦ θυγάτηρ.

σαι τῷ ὑμετέρῳ θείῳ μεμαρτύρηκε, μνημονεύειν χρὴ ὑφ' ὅσων μεμαρτύρηται· καὶ ὅτι οὐδενὶ ἄλλῳ ἐγγυηθεῖσα, οὐδὲ συνοικήσασα φαίνεται. Σκεψώμεθα δὲ καὶ ἐξ ὧν ἄν τις ὑπονοήσειεν ἐγγύην γενέσθαι τοιαύτης γυναικὸς, εἰ ἄρα καὶ τῷ ἡμετέρῳ θείῳ τοιοῦτόν τι συμβέβηκεν. Ἤδη γάρ τινες νέοι ἄνθρωποι ἐπιθυμήσαντες τοιούτων γυναικῶν, καὶ ἀκρατῶς ἔχοντες αὑτῶν, ἐπείσθησαν ὑπ' ἀνοίας εἰς αὐτοὺς τοιοῦτόν τι ἐξαμαρτεῖν. Πόθεν οὖν ἄν τις σαφέστερον γνοίη περὶ τούτων; ἢ ἔκ τε τῶν μαρτυριῶν τῶν τούτοις[2] μεμαρτυρημένων ἐν τῇ προτέρᾳ δίκῃ, καὶ ἐκ τῶν εἰκότων τῶν περὶ αὐτὸ τὸ πρᾶγμα σκεψάμενος; Ἐνθυμεῖσθε δὲ τὴν ἀναίδειαν ὧν λέγουσιν. Ὁ μὲν γὰρ ἐγγυᾶν μέλλων εἰς τὸν τριτάλαντον οἶκον (ὥς φησι) τὴν ἀδελφὴν, διαπραττόμενος τηνικαῦτα ἕνα μάρτυρα παρεῖναι αὐτῷ Πυρετίδην προσεποιήσατο. Καὶ τούτου ἐκμαρτυρίαν[3] ἐπ' ἐκείνῃ τῇ δίκῃ παρέσχον οὗτοι· ἣν Πυρετίδης οὐκ ἀναδέδεκται αὐτοῖς,[4] οὐδὲ ὁμολογεῖ μαρτυρῆσαι, οὐδὲ εἰδέναι τούτων ἀληθὲς ὂν οὐδέν. Μέγα δὲ τεκμήριον ὡς περιφανῶς ψευδῆ τὴν μαρτυρίαν οὗτοι παρέσχον ταύτην. Ἴστε γὰρ πάντες ὡς, ὅταν μὲν ἐπὶ προδήλους πράξεις ἴωμεν, ἃς δεῖ μετὰ μαρτύρων γενέσθαι, τοὺς οἰκειοτάτους, καὶ οἷς ἂν τυγχάνωμεν χρώμενοι μάλιστα, τούτους παραλαμβάνειν εἰώθαμεν ἐπὶ τὰς πράξεις τὰς τοιαύτας· τῶν δὲ ἀδήλων καὶ ἐξαίφνης γινομένων τοὺς προστυχόντας ἕκαστοι μάρτυρας ποιούμεθα. Καὶ ἐπὶ μὲν ταῖς μαρτυρίαις αὐταῖς,[5] τοῖς παραγινομένοις αὐτοῖς ὁποῖοί τινες ἂν ὦσι, τούτοις μάρτυσι χρῆσθαι ἀναγκαῖόν ἐστιν ἡμῖν· παρὰ δὲ τῶν ἀσθενούντων, ἢ τῶν ἀποδημεῖν μελλόντων, ὅταν τις ἐκμαρτυρίαν ποιῆται, τοὺς ἐπιεικεστάτους τῶν πολιτῶν καὶ τοὺς ὑμῖν γνωριμωτάτους ἕκαστος ἡμῶν παρακαλεῖ μάλιστα· καὶ οὐδὲ μεθ' ἑνὸς, οὐδὲ μετὰ δυοῖν, ἀλλ' ὡς ἂν μετὰ πλείστων δυνώμεθα, τὰς ἐκμαρτυρίας πάντες ποιούμεθα· ἵνα τῷ τε μαρτυρήσαντι μὴ ἐξείη ὕστερον ἐξάρνῳ γενέσθαι τὴν μαρτυρίαν, ὑμεῖς τε πολλοῖς καὶ καλοῖς κἀγαθοῖς ταῦτα μαρτυροῦσι πιστεύητε μᾶλλον.

§ 7. Ξενοκλῆς τοίνυν Θήβαζε μὲν ἰὼν εἰς τὸ ἐργαστήριον τὸ ἡμέτερον εἰς τὰ ἔργα,[2] οὐχ ἡγήσατο δεῖν τοῖς ἀπὸ ταὐτομάτου

---

§ 6. 2. Τούτοις.) Κατ' ἔλλειψιν τῆς Ἐπί· ὑπὲρ τούτων δηλαδή. Νικοδήμου καὶ τῆς ἑταιρείας αὐτοῦ. — 3. Ἐκμαρτυρίαν.) Ἐκμαρτυρία γεγραμμένη ἐστὶ μαρτυρία ἢ ἀναγινώσκεται, ὅταν τις τελευτήσας, ἢ ὑπερόριος ᾖ· ἢ Ἐκμαρτυρία, ὅταν τις παρὰ τοῦ ἰδόντος ἀκούσας λέγῃ κατὰ τῶν ψευδῆ μαρτυρούντων ἐν δίκῃ. Βαρῖνος. — 4. Οὐκ ἀναδέδεκται αὐτοῖς.) Οὐκ ἐδέχθη παρ' αὐτῶν ταύτην γράψαι τὴν μαρτυρίαν. — 5. Ταῖς μαρτυρίαις αὐταῖς.) Ἐπὶ ταῖς μαρτυρίαις αὐταῖς καὶ οὐκ ἐπὶ ταῖς ἐκμαρτυρίαις, ἢ διαμαρτυρίαις τούτοις χρώμεθα μάρτυσιν, τοῖς παραγενομένοις αὐτοῖς δηλαδὴ καὶ οὐκ ἄλλοις. Ἐπίτασίν τε καὶ βεβαίωσιν, πρὸς δὲ καὶ διαστολὴν αἱ ἀντωνυμία δηλοῦσιν.

§ 7. 2. Εἰς τὸ ἐργαστήριον . . . εἰς τὰ ἔργα.) Ἐν Θήβαις δοκεῖ ἐργαστήριόν τι ἔχειν τὸν Πύῤῥον, ὅπερ κατέλιπεν Ἐνδίῳ τῷ κληρονόμῳ· τὰ δὲ ἔργα ἤτοι

ἐκεῖ τυχοῦσι μάρτυσι χρῆσθαι περὶ τῆς ἐξαγωγῆς·[3] ἀλλ' ἧκεν[4] ἔχων ἔνθεν[5] Διόφαντον τὸν Σφήττιον μεθ' ἑαυτοῦ. Ὃς ἔλεγε τὴν δίκην[6] ὑπὲρ τούτου· καὶ Δωρόθεον τὸν Ἐλευσίνιον, καὶ τὸν ἀδελφὸν αὐτοῦ Φιλοχάρη, καὶ ἄλλους πολλοὺς μάρτυρας, παρακεκληκὼς ἐνθένδε, σταδίους εὐθὺς[7] τριακοσίους ἐκεῖσε. Περὶ δὲ τῆς ἐγγύης[8] τῆς τήθης τῶν παίδων τῶν ἑαυτοῦ ἐν τῷ ἄστει ἐκμαρτυρίαν (ὥς φησι) ποιούμενος, τῶν μὲν οἰκείων οὐδένα τῶν ἑαυτοῦ παρακεκληκὼς φαίνεται, Διονύσιον δὲ Ἐρχιέα, καὶ Ἀριστόλοχον τὸν Αἰθαλίδην. Μετὰ δυοῖν τούτοιν ἐν τῷ ἄστει αὐτὸν τὴν ἐκμαρτυρίαν ποιήσασθαι φασὶν οὗτοι. Τοιαῦτα μὲν τὰ τούτων· οἷς οὐδ' ἂν περὶ ἑτουοῦν πιστεύσειεν ἄλλου οὐδείς. Ἴσως γὰρ ἦν[9] νὴ Δία πάρεργον καὶ φαῦλον, περὶ οὗ τὴν ἐκμαρτυρίαν παρὰ τοῦ Πυρετίδου φασὶ ποιήσασθαι οὗτοι. Ὥστε οὐδὲν[10] θαυμαστὸν ὀλιγωρηθῆναι ἦν τὸ πρᾶγμα, καὶ πῶς;[11] ὅγε περὶ αὐτοῦ τούτου[12] ὁ ἀγὼν ἦν ὁ τῶν ψευδομαρτυριῶν, ὃν Ξενοκλῆς ἔφευγεν, ἢ ἐξ ἑταίρας, ἢ ἐξ ἐγγυητῆς, τὴν ἑαυτοῦ γυναῖκα εἶναι. Εἶτα ἐπὶ ταύτην ἂν τὴν μαρτυρίαν, εἰ ἦν ἀληθής, οὐκ ἂν ἅπαντας τοὺς οἰκείους τοὺς ἑαυτοῦ παρακαλεῖν ἐκεῖνος ἠξίωσεν; Ναὶ μὰ Δία, ὡς ἔγωγε ᾤμην, εἴγε ἦν ἀληθὲς τὸ πρᾶγμα. Οὐ τοίνυν φαίνεται.[13] Ἀλλ' ὁ μὲν Ξενοκλῆς πρὸς τοὺς ἐπιτυχόντας δύο ἐκμαρτυρησάμενος[14] τὴν μαρτυρίαν ταύτην ἦν.[15] Νικόδημος δὲ οὗτος, ἕνα μόνον μάρτυρα παρακαλέσας μεθ' ἑαυτοῦ, τῷ τὸν τριτάλαντον οἶκον κεκτημένῳ ἐγγυῆσαι φησὶ τὴν ἀδελφήν. Καὶ οὗτος μὲν τὸν Πυρετίδην μόνον, οὐχ ὁμολογοῦντα,[16] προσεποιήσατο μετ' αὐτοῦ παραγενέσθαι· ὑπὸ δὲ τοῦ ἐγγυήσασθαι μέλλοντος τὴν τοιαύτην, Λυσιμένης καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Χαίρων

---

μέταλλα ἦταν, ἢ ἄλλο τι, οὐ γὰρ λέγει ἃ δὴ ἐργάζοντο ἐν τῷ ἐργαστηρίῳ. — 3. Περὶ τῆς ἐξαγωγῆς.) Ἐμβάντα γὰρ εἰς τὸ ἐργαστήριον, καὶ οἰκειοποιούμενον τὰ ἔργα, ὠθοῦντες βίᾳ τε καὶ χερσὶν ἐξήγαγον ἔξω τοῦ ἐργαστηρίου τὸν Ξενοκλέα· καὶ περὶ τῆς ἐξαγωγῆς ταύτης Ἀθήνηθεν ἔλαβε μάρτυρας. — 4. Ἀλλ' ἧκεν.) Εἰς Θήβας. — 5. Ἔνθεν.) Ἐξ Ἀθηνῶν. — 6. Δίκην.) Τὴν περὶ τῆς ἐξαγωγῆς. — 7. Εὐθύς.) Σημαίνει δὲ ἐνταῦθα τὸ Ἀκριβῶς. — 8. Περὶ δὲ τῆς ἐγγύης.) Ὅτι δηλαδὴ Πύῤῥος ἐγγυήσατο τὴν τήθην τὴν τῶν παίδων αὐτοῦ· τῆς γὰρ μητρὸς αὐτῶν ἦν μήτηρ. — 9. Ἴσως γὰρ ἦν.) Τὸ πιστεῦσαι περὶ ἐκείνου, περὶ οὗ, ὥς φασιν οἱ περὶ τὸν Νικόδημον. Ξενοκλῆς ἐποιήσατο τὴν ἐκμαρ. — 10. Ὥστε οὐδέν.) Ὥστε οὐδὲν θαυμαστὸν ἦν ὀλιγωρηθ. — 11. Καὶ πῶς;) Ἀπὸ κοινοῦ, οὐκ ἦν θαυμαστὸν ὀλιγωρηθ. — 12. Περὶ αὐτοῦ τούτου) Τοῦ πράγματος δηλ. ὅτι ἐγγυήσατο Πύῤῥος τὴν τῆς γυναικὸς Ξενοκλέους μητέρα. — 13. Οὐ τοίνυν φαίνεται.) Ἐλλείπει, τοῦτο πεποιηκὼς, ἢ τοὺς οἰκείους κεκληκώς. — 14. Ἐκμαρτυρησάμενος.) Ὁ νοῦς. Οὐ πολλοὺς, οὐδ' ἀναγκαίους οὐδ' οἰκείους, οὐδὲ γνωστοὺς ἄνδρας, ἀλλ' ἀγνώστους, καὶ ἀσήμους καὶ κατὰ τύχην αὐτῷ προσενεχθέντας, καὶ τούτους δύο μόνους ἤγαγεν, ὥς φησι, πρὸς Πυρετίδην· ἐλθὼν δὲ πρὸς αὐτὸν, ἔλαβε παρ' αὐτοῦ μαρτυρίαν γεγραμμένην. — 15. Ἦν.) Πρὸς τὸ Ἐκμαρτυρησάμενος, ἵν' ᾖ ἀντὶ ἐμαρτυρήσατο. — 16. Οὐχ' ὁμολογοῦντα.) Ἀρνούμενος οὐχ ὅπως μόνον τὸν Πυρετίδην ἤγαγεν, ἀλλὰ καὶ τοῦτον ἀρνούμενον ὅτι οὐδέποτε

καὶ Πυλάδης, φασὶ παρακληθέντες ἐγγύῃ παραγενέσθαι, καὶ ταῦτα,[17] θεῖοι ὄντες τῷ ἐγγυωμένῳ.

§ 8. Ὑμέτερον οὖν ἔργον σκέψασθαι νῦν, εἰ δοκεῖ πιστὸν εἶναι τὸ πρᾶγμα. Ἐγὼ μὲν γὰρ νομίζω, ἐκ τῶν εἰκότων σκοπούμενος, πολὺ ἂν μᾶλλον τὸν Πύῤῥον πάντας ἂν τοὺς οἰκείους βούλεσθαι λεληθέναι, εἴτι παρασκευάζετο ὁμολογεῖν ἢ πράττειν ἀνάξιον τῶν αὑτοῦ, ἢ παρακαλέσαι μάρτυρας τοὺς θείους τοὺς ἑαυτοῦ ἐπὶ ἁμάρτημα τηλικοῦτον. Ἔτι δὲ καὶ περὶ ἐκείνου θαυμάζω, εἰ μηδεμίαν προῖκα μηθ' ὁ διδοὺς, μηθ' ὁ λαμβάνων διωμολογήσαντο ἕξειν ἐπὶ τῇ γυναικί. Τοῦτο μὲν γὰρ, εἴ τινα ἐδίδου, εἰκὸς ἦν καὶ τὴν δοθεῖσαν ὑπὸ τῶν παραγενέσθαι φασκόντων μαρτυρεῖσθαι· τοῦτο δ'[2] εἰ δι' ἐπιθυμίαν τὴν ἐγγύην ὁ θεῖος ἡμῶν ἐποιεῖτο τῆς τοιαύτης γυναικὸς, δῆλον ὅτι κἂν ἀργύριον πολλῷ μᾶλλον ὁ ἐγγυῶν[3] διωμολογήσατο ἔχειν αὐτὸν[4] ἐπὶ τῇ γυναικί, ἵνα μὴ ἐπ' ἐκείνῳ γένοιτο ῥᾳδίως ἀπαλλάττεσθαι, ὁπότε βούλοιτο, τῆς γυναικός· καὶ μάρτυράς γε πολλῷ πλείους τὸν ἐγγυῶντα παρακαλεῖν,[5] ἢ τὸν ἐγγυώμενον τὴν τοιαύτην. Οὐδεὶς γὰρ ὑμῶν ἀγνοεῖ, ὅτι ὁ λόγος οὐ διαμένειν εἴωθε τῶν τοιούτων.

§ 9. Ὁ μὲν τοίνυν ἐγγυῆσαι φάσκων μετὰ ἑνὸς μάρτυρος, καὶ ἄνευ ὁμολογίας προικὸς, εἰς τὸν τριτάλαντον οἶκον ἐγγυῆσαι φησὶ τὴν ἀδελφήν. Οἱ δὲ θεῖοι τῷ ἀδελφιδῷ ἄπροικον τὴν τοιαύτην ἐγγυωμένῳ μεμαρτυρήκασι παραγενέσθαι. Καὶ οἱ αὐτοὶ ἐν τῇ δεκάτῃ τῆς θυγατρὸς ἀποφανθείσης εἶναι[2] ὑπὸ τοῦ ἀδελφιδοῦ κληθέντες μεμαρτυρήκασι παραγενέσθαι. Ἐφ' ᾧ δὴ καὶ μάλιστα ἀγανακτῶ, ὅτι ὁ μὲν ἀνὴρ[3] λαγχάνων ὑπὲρ τῆς γυναικὸς τῆς αὑτοῦ τοῦ κλήρου τοῦ πατρῴου,[4] Φίλην ὄνομα εἶναι ἐγράψατο τῇ γυναικί· οἱ δὲ τοῦ Πύῤῥου θεῖοι ἐν τῇ δεκάτῃ φάσκοντες παραγενέσθαι, τὸ τῆς τήθης[5] ὄνομα Κλειταρέτην τὸν πατέρα ἐμαρτύρησαν θέσθαι αὐτῇ. Θαυμάζω οὖν εἰ ὁ ἀνὴρ ὁ συνοικῶν πλείω ἢ

---

τοιοῦτό τι ἐποίησεν. — 17. Καὶ ταῦτα.) Φασὶν οὗτοι θεῖοι ὄντες.

§ 8. 2. Τοῦτο μέν. . .τοῦτο δέ.) Ἔστιν ἀντὶ τοῦ, Πρῶτον μέν· ἔπειτα δέ· ἢ γοῦν κατὰ παρολκὴν κεῖται· ἱκανὸν γὰρ τὸ, εἰ μὲν γάρ τινα ἐδίδου· εἰδὲ δι' ἐπιθυμίαν· σύνηθες δὲ τοῦτο παρ' Ἕλλησι. — 3. Πολλῷ μᾶλλον ὁ ἐγγυῶν.) Ἐλλίπει· ἢ ὁ ἐγγυώμενος. — 4. Αὐτόν.) Τὸν Πύῤῥον· ὃς προῖκα ἔλαβεν τοιαύτῃ συνθήκῃ· ὥστε ἐκείνην τὴν γυναῖκα, ἧς ἐστιν ἡ προῖξ αὕτη, ὡς νόμιμον γυναῖκα, καὶ μητέρα τῶν τέκνων εἶναι, προσηκόντως τε χρῆσθαι, παντί τε νόμῳ μητρὸς πρὸς τὰ τέκνα χρῆσθαι ἀνέχεσθαι· οὕτος δὴ ἔχειν προῖκα ἐπὶ γυναικὶ λέγεται. — 5. Παρακαλεῖν.) Ἐννοεῖται τὸ Εἰκὸς ἦν, ἢ ἔδει.

§ 9. 2. Ἀποφανθείσης εἶναι.) Οἷον τῆς κόρης περὶ ἧς ἀπεφαίνετο ὅτι Πύῤῥου θυγάτηρ ἐστί· κατὰ γὰρ τὴν δεκάτην ἡμέραν εἴθισται τιθέναι τὰ ὀνόματα τῶν γεννωμένων· ὅτε καὶ ἡ κόρη αὕτη ἐπεφάνθη θυγάτηρ εἶναι Πύῤῥου. — 3. Ἀνήρ.) Ξενοκλῆς. — 4. Τοῦ πατρῴου.) Ἤγουν περὶ τοῦ κλήρου, ὃν ἡ αὐτοῦ γυνὴ παρὰ τοῦ Πύῤῥου τοῦ πατρὸς, ἑαυτῆς εἶναι διϊσχυρίζετο. — 5. Τήθης.) Τῆς μητρὸς Πύῤῥου. —

ὀκτὼ ἔτη ἤδη, μὴ ᾔδει τοὔνομα τῆς ἑαυτοῦ γυναικός. Εἶτα οὐδὲ παρὰ τῶν αὐτῶν μαρτύρων πρότερον ἐδυνήθη πυθέσθαι· οὐδ᾽ ἡ μήτηρ τῆς γυναικὸς τὸ τῆς θυγατρὸς ὄνομα τῆς αὐτῆς ἐν χρόνῳ τοσούτῳ ἔφρασεν αὐτῷ, οὐδ᾽ ὁ θεῖος αὐτὸς Νικόδημος, ἀλλ᾽ ἀντὶ τοῦ τῆς τήθης ὀνόματος (εἴτις ᾔδει τοὔθ᾽ ὑπὸ τοῦ πατρὸς κείμενον[6]) ταύτην Φίλην ὁ ἀνὴρ ὄνομα ἐπεγράψατο εἶναι αὐτῇ·[7] καὶ ταῦτα, λαγχάνων αὐτῇ[7] τοῦ κλήρου τοῦ πατρῴου. Τίνος ἕνεκα; ἢ ἵνα καὶ τοῦ τῆς τήθης ὀνόματος τοῦ ὑπὸ τοῦ πατρὸς τεθέντος ἄκληρον ὁ ἀνὴρ καταστήσειεν εἶναι τὴν αὑτοῦ γυναῖκα; Ἆρά γε οὐχὶ δῆλον, ὦ ἄνδρες, ὅτι ἃ πάλαι οὗτοι μαρτυροῦσι γενέσθαι, πολλῷ πλέον τῆς λήξεως τοῦ κλήρου σύγκειται αὐτοῖς; Οὐ γὰρ ἄν ποτε οἱ μὲν εἰς τὴν δεκάτην (ὥς φασι) κληθέντες τῆς τοῦ Πύῤῥου θυγατρὸς, ἀδελφιδῆς δὲ τούτου,[8] ἐξ ἐκείνης τῆς ἡμέρας, ἥτις ἦν ποτε, ἀκριβῶς εἰς τὸ δικαστήριον ἧκον μεμνημένοι, ὅτι Κλειταρέτην ὁ πατὴρ ἐν τῇ δεκάτῃ ὠνόμαζεν· οἱ δὲ οἰκειότατοι τῶν ἁπάντων, ὁ πατὴρ καὶ ὁ θεῖος καὶ ἡ μήτηρ, οὐκ ἂν ᾔδοι τὸ ὄνομα τῆς θυγατρὸς (ὥς φησι) τῆς αὐτοῦ. Πολύ γε μάλιστ᾽ ἄν,[9] εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα. Ἀλλὰ περὶ μὲν τούτων καὶ ὕστερον ἐγχωρήσει εἰπεῖν.

§ 10. Περὶ δὲ τῆς τούτου μαρτυρίας[2] οὐ χαλεπὸν καὶ ἐξ αὐτῶν τῶν νόμων ἐστὶ γνῶναι, ὅτι φαίνεται περιφανῶς τὰ ψευδῆ μεμαρτυρηκὼς οὗτος. Ὅπου γὰρ, ἐάν τίς τι ἀτίμητον[3] δῷ, ἕνεκα τοῦ γάμου, ἐὰν ἀπολίπῃ ἡ γυνὴ τὸν ἄνδρα, ἢ ἐὰν ὁ ἀνὴρ ἐκπέμψῃ τὴν γυναῖκα, οὐκ ἔξεστι πράξασθαι[4] τῷ δόντι, ὃ μὴ προικὶ τιμήσας ἔδωκεν. Ἧπου, ὅς τις γέ φησιν ἄνευ ὁμολογίας προικὸς τὴν ἀδελφὴν ἐγγυῆσαι, περιφανῶς ἀναίσχυντος ὢν ἐλέγχεται. Τί γὰρ ἔμελλεν εἶναι αὐτῷ τῆς ἐγγύης, εἰ ἐπὶ τῷ ἐγγυησαμένῳ ἐκπέμψαι, ὁπότε βούλοιτο τὴν γυναῖκα; Ἦν δ᾽ ἄν[5] ἐπ᾽ ἐκείνῳ, ὦ ἄνδρες, δῆλον ὅτι, εἰ μηδεμίαν[6] προῖκα διωμολογήσατο ἕξειν ἐπ᾽ αὐτῇ· εἶτ᾽ ἐπὶ τούτοις ἂν Νικόδημος ἐνεγγύησε τῷ ἡμετέρῳ θείῳ τὴν ἀδελφήν· καὶ ταῦτα,[7] εἰδὼς τὸν ἅπαντα χρόνον ἄτοκον οὖσαν αὐτήν· καὶ τῆς ὁμολογηθείσης προικὸς ἐκ τῶν

---

6. Κείμενον.) Ἐπιτεθειμένον δηλ. — 7. Λαγχάνων αὐτῇ.) Ὅπερ ἐστὶν ὑπὲρ αὐτῆς. — 8. Ἀδελφιδῆς δὲ τούτου.) Τοῦ Νικοδήμου. — 9. Μάλιστ᾽ ἄν.) Ὑπακούεται ᾔδεσαν οὗτοι τοὔνομα τῆς ἑαυτῶν θυγατρός· καὶ ἔστι τὸ Πολύ γε μάλιστ᾽ ἄν, ἀντὶ τοῦ Βεβαιότατα.

§ 10. 2. Μαρτυρίας.) Ἐκείνην φησὶ τὴν μαρτυρίαν καθ᾽ ἣν Νικόδημος ἐβεβαίου τὴν ἀδελφὴν αὐτοῦ κατὰ θεσμὸν ἐγγυημένην· κἀκ τούτου νόμιμον μητέρα εἶναι πρὸς τὰ τέκνα. — 3. Ἀτίμητον.) Μὴ ὡρισμένην ἔχων τὴν τιμήν. — 4. Πράξασθαι.) Οὐκ ἔξεστι τῷ δόντι ἀπαιτεῖν. — 5. Ἦν δ᾽ ἄν.) Ὁ Δὲ αἰτιολογικὸς ἀντὶ τοῦ Γάρ. — 6. Εἰ μηδεμίαν.) Ὁ Εἰ ἀναλυτικὸς ἀπαρεμφάτου ὀνοματικοῦ· οἷον· ἐπ᾽ ἐκείνῳ ἦν, ὦ ἄνδρες, τὸ μηδεμίαν προῖκα διομολογήσασθαι, ἕξειν. — 7. Καὶ ταῦτα.) Ἐννοεῖται ἐποίησεν

νόμων γινομένης εἰς αὐτὸν,[8] εἴ τι ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ; Ἆρ' οὖν δοκεῖ τῳ ὑμῶν ὀλιγώρως οὕτως ἔχειν χρημάτων Νικόδημος, ὥστε παραλιπεῖν ἄν τι τῶν τοιούτων; Ἐγὼ μὲν γὰρ οὐ νομίζω. Εἶτα παρὰ τούτου ὁ ἡμέτερος θεῖος ἠξίωσεν ἂν ἐγγυήσασθαι τὴν ἀδελφὴν, ὃς αὐτὸς ξενίας φεύγων[9] ὑπὸ ἑνὸς τῶν φρατόρων, ὅν φησιν αὑτοῦ εἶναι,[10] παρὰ τέτταρας[11] ψήφους μετέσχε τῆς πόλεως; Καὶ ὡς ἀληθῆ λέγω, ἀναγίνωσκε τὴν μαρτυρίαν. Μαρτυρία. Οὗτος τοίνυν τῷ ἡμετέρῳ θείῳ ἄπροικον τὴν ἀδελφὴν τὴν ἑαυτοῦ μεμαρτύρηκεν ἐγγυῆσαι. Καὶ ταῦτα, τῆς προικὸς εἰς αὐτὸν γινομένης, εἴτι ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ. Λαβὲ δὴ καὶ ἀνάγνωθι τοὺς νόμους τουσδὶ[12] αὐτοῖς. Νόμοι.[13] Δοκεῖ ἂν ὑμῖν οὕτως ὀλιγώρως ἔχειν χρημάτων Νικόδημος, ὥστε, εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα, οὐκ ἂν σφόδρα διακριβώσασθαι περὶ τῶν ἑαυτῷ συμφερόντων; Ναὶ μὰ Δία,[14] ὥς ἔγωγ' οἶμαι. Ἐπεὶ καὶ οἱ ἐπὶ παλλακίδι διδόντες[15] τὰ ἑαυτῶν, πάντες πρότερον διομολογοῦνται περὶ τῶν δοθησομένων ταῖς παλλακαῖς· Νικόδημος δὲ ἐγγυᾷν μέλλων (φησὶ[16]) τὴν ἀδελφὴν τὴν αὑτοῦ, μόνον τὸ[17] κατὰ τοὺς νόμους ἐγγυῆσαι διεπράξατο; ὃς ἐπὶ ὀλίγῳ ἀργυρίῳ, οὗ ἐπιθυμῶν λέγει πρὸς ὑμᾶς, σφόδρα βούλεται πονηρὸς εἶναι. Περὶ μὲν οὖν τῆς τούτων πονηρίας, καὶ σιωπῶντος ἐμοῦ, οἱ πολλοὶ γινώσκουσιν ὑμῶν.

§ 11. Βούλομαι δὲ πρῶτον ἐκ τῶν τοιῶνδε[2] ἐξελέγξαι τοῦτον ἀναισχυντότατον τῇ μαρτυρίᾳ ὄντα ταύτῃ. Φέρε, ὦ Νικόδημε, εἰ ἦσθα ἐγγυηκὼς τῷ Πύρρῳ τὴν ἀδελφὴν, καὶ εἰ ᾔδεις ἐξ αὐτῆς θυγατέρα γνησίαν καταλειπομένην, πῶς ἐπέτρεψας τῷ ἡμετέρῳ

---

ἄν. — 8. Εἰς αὐτόν.) Τὸν Νικόδημον δηλ. ἡ γὰρ προῖξ ἐπὶ τὸν δόντα ἐπιστρέφει, ἀτέκνου ἀποθανούσης τῆς γυναικὸς, οὐδὲ μένει ἐν τῷ ἀνδρὶ ἐπιζήσαντι. — 9. Ξενίας φεύγων.) Ἐλλείπει, δίκην ἤτοι κατηγορούμενος ὡς ξένος καὶ οὐ πολίτης. — 10. Ὅν φησιν αὑτοῦ εἶναι.) Ὅπερ ἐστὶν, ὃν φησιν ἑαυτοῦ φράτορα εἶναι. Φράτορες δέ εἰσιν οἱ τῆς αὐτῆς φρατρίας μετέχοντες, οἷον πατριᾶς τινος. — 11. Παρὰ τέτταρας.) Τεττάρων ψήφων ἔδει· ἵνα πολίτης γένηται. — 12. Τουσδί.) Κατ' ἐπέκτασιν τὸ ι Ἀττικῶς. — 13. Νόμοι.) Τὴν ὁμολογηθεῖσαν προῖκα γενέσθαι εἰς τὸν ἐγγυήσαντα, εἴτι ἔπαθεν ἡ γυνὴ, πρὶν γενέσθαι παῖδας αὐτῇ. — 14. Ναὶ μὰ Δία.) Ἐννοεῖται Σφόδρα ἂν διηκριβώσατο περὶ τῶν ἑαυτοῦ συμφερόντων. — 15. Οἱ ἐπὶ παλλακίδι διδόντες.) Ἄρα, (ὡς ἔστιν ἐκ τοῦ χωρίου τούτου περίσασθαι) προικὶ ἐμίσθουν τὰς παλλακίδας· πίνακές τε ἐγίνοντο, ἐν οἷς ἐφυλάττετο, ὅ,τι τῶν ὠφελίμων ἦσαν παριέχοντες, διωχθείσης τῆς παλλακίδος. — 16. Φησί.) Ἀντὶ ὡς φησιν τὸ, γὰρ Φησί καὶ Φασὶ, ἄνευ ἀπαρεμφάτου φερόμενα, ἀλλὰ ἀπολύτως παρεντιθέμενα, προσυπακουόμενον ἔχουσι τὸ Ὡς. — 17. Μόνον τό.) Ὁ νοῦς· Οὐδὲν ἀλλ' ἢ τοῦτο ἐβούλετο Νικόδημος πρᾶξαι τὴν ἑαυτοῦ ἀδελφὴν μόνον νομίμως Πύῤῥῳ ἐγγυῆσαι, περὶ δὲ προικὸς ἀσφαλοῦς διατάξεως, καὶ ὅπως ποτε εἰ τύχοι ἀνακτῆσαι αὐτὴν μικρὸν ἐφρόντισε.

§ 11. 2. Ἐκ τῶν τοιῶνδε.) Ὑπα-

ἀδελφῷ ἐπιδικάσασθαι τοῦ κλήρου, ἄνευ τῆς γνησίας θυγατρὸς, ἣν φῂς τῷ ἡμετέρῳ θείῳ καταλειφθῆναι; ἢ οὐκ ᾔδεις ἐν τῇ ἐπιδικασίᾳ τοῦ κλήρου νόθην καθισταμένην τὴν ἀδελφιδῆν τὴν σαυτοῦ; Ὁπότε γὰρ [τις] ἐπεδικάζετο τοῦ κλήρου, νόθην τὴν θυγατέρα τοῦ καταλιπόντος τὸν κλῆρον καθίστη· ἔτι δὲ πρότερον[3] ὁ Πύῤῥος, ὁ ποιησάμενος τὸν ἀδελφὸν τὸν ἐμὸν υἱὸν αὑτῷ. Οὔτε γὰρ διαθέσθαι, οὔτε δοῦναι οὐδενὶ οὐδὲν ἔξεστι[4] τῶν ἑαυτοῦ, ἄνευ τῶν θυγατέρων, ἐάν τις καταλιπὼν γνησίας τελευτᾷ. Γνώσεσθε δὲ, αὐτῶν ἀκούσαντες τῶν νόμων ἀναγινωσκομένων. Ἀναγίνωσκε τουσδὶ αὐτοῖς. **Νόμοι.** Δοκεῖ ἂν ὑμῖν ὁ μεμαρτυρηκὼς[5] ἐγγυῆσαι, ἐπιτρέψαι ἄν τι τούτων γίγνεσθαι, καὶ οὐκ ἂν ἐπὶ τοῦ κλήρου τῇ λήξει, ἣν ὁ Ἔνδιος λαχὼν ἐπεδικάζετο, ἀμφισβητῆσαι ἂν ὑπὲρ τῆς ἀδελφιδῆς τῆς ἑαυτοῦ; καὶ οὐκ ἂν διαμαρτυρῆσαι οὐκ ἐπίδικον τῷ Ἐνδίῳ τὸν ἐκείνης πατρῷον κλῆρον εἶναι; Ἀλλὰ μὴν, ὥς γε[6] ἐπεδικάσατο ὁ ἡμέτερος ἀδελφὸς τοῦ κλήρου, καὶ οὐκ ἠμφισβήτησεν οὐδεὶς ἐκείνῳ, ἀναγίνωσκε τὴν μαρτυρίαν. **Μαρτυρία.** Γενομένης τοίνυν τῆς ἐπιδικασίας ταύτης, οὐκ ἐτόλμησεν ἀμφισβητῆσαι τοῦ κλήρου Νικόδημος· οὐδὲ διαμαρτυρῆσαι, τὴν ἀδελφιδῆν τὴν ἑαυτοῦ γνησίαν θυγατέρα Πύῤῥῳ καταλειφθῆναι. Περὶ μὲν οὖν τῆς διαδικασίας ἔχοι ἄν τι ψεῦδος προφασίσασθαι πρὸς ὑμᾶς. Ἢ γὰρ λαθεῖν ἡμᾶς[7] προσποιήσαιτ' ἂν οὗτος, ἢ ψεύδεσθαι[8] αἰτιῷτ' ἂν ἡμᾶς. Τοῦτο μὲν οὖν παρῶμεν.

§ 12. Ἐπειδὴ δὲ τῷ Ξενοκλεῖ ἐγγυᾷ ὁ Ἔνδιος τὴν ἀδελφιδῆν σου, ἐπέτρεψας ἂν, ὦ Νικόδημε, τὴν ἐκ τῆς ἐγγυητῆς τῷ Πύῤῥῳ γεγεννημένην ὡς ἐξ ἑταίρας ἐκείνου οὖσαν ἐγγυᾶσθαι; καὶ οὐκ ἂν εἰσήγγελλες πρὸς τὸν ἄρχοντα, κακοῦσθαι τὴν ἐπίκληρον ὑπὸ τοῦ εἰσποιήτου οὕτως ὑβριζομένην, καὶ ἄκληρον τῶν αὐτῆς πατρῴων καθισταμένην; ἄλλως τε καὶ μόνων τούτων τῶν δικῶν ἀκινδύνων[2] τοῖς διώκουσιν οὐσῶν, καὶ ἐξὸν τῷ βουλομένῳ βοηθεῖν ταῖς ἐπικλήροις; Οὔτε γὰρ ἐπιτίμιον ταῖς πρὸς τὸν ἄρχοντα εἰσαγγελίαις ἔπεστιν, οὐδ', ἐὰν μηδεμίαν τῶν ψήφων οἱ εἰσαγγείλαντες μεταλάβωσιν. Οὔτε πρυτανεῖα, οὔτε παράστασις[3] οὐδεμία τίθεται τῶν εἰσαγγελιῶν. Ἀλλὰ τοῖς μὲν διώκουσιν

---

κούετο, ἃ νῦν ἐρῶ. — 3. Ἔτι δὲ πρότερον.) Ἔτι δὲ πρότερον ἢ ὁ ἐμὸς ἀδελφὸς Ἔνδιος, νόθην καθίστη θυγατέρα ἐκείνην Πύῤῥος αὐτὸς, ὁ ποιητ. — 4. Οὐδὲν ἔξεστι.) Κατὰ τοὺς νόμους δηλ. — 5. Ὁ μεμαρτυρηκώς.) Νικόδημος δηλ. — 6. Ὥς γε.) Ὅτι γε. — 7. Λαθεῖν ἡμᾶς.) Αὐτὸν ἐπιδικαζομένοις· ὅπερ ἐστίν· ἠγνόει ὅτι ἡμεῖς ἐπιδικαζόμεθα. — 8. Ἢ ψεύδεσθαι.) Λέγοντας ἀεὶ ἐπιδικασθέντα εἶναι τὸν κλῆρον, μὴ ὄντα.

§ 12. 2. Τῶν δικῶν ἀκινδύνων.) Ὅτε γάρ τις γραφὴν ἐδίδου κατά τινος· κατετίθη χρημάτων τινὰ ποσότητα εἰς ποινὴν, ἐὰν μὴ δείξῃ ὁ ἐγκαλεῖ· ἐν τοῖς ἐπικλήροις φησὶν οὐδεὶς τοιοῦτος κίνδυνος· οὔτε γὰρ χρήμασι ζημιωθήσεται μὴ νικήσας, οὔτε ἄλλο τι πείσεται. — 3. Πρυτανεῖα, οὔτε παράστασις.)

ἀκινδύνως εἰσαγγέλλειν ἔξεστι, τῷ βουλομένῳ,[4] τοῖς δ' ἁλισκομένοις ἐσχάται τιμωρίαι ἐπὶ ταῖς εἰσαγγελίαις ἔπεισιν. [Ἔπειτα,[5] εἰ ἦν ἐξ ἐγγυητῆς ἡ τούτου ἀδελφιδῆ τῷ ἡμετέρῳ θείῳ γεγενημένη, ἐπέτρεψεν ἂν Νικόδημος ὡς ἐξ ἑταίρας οὖσαν αὐτὴν ἐγγυᾶσθαι; καὶ γενομένων αὐτῶν, οὐκ ἂν εἰσήγγελλε πρὸς τὸν ἄρχοντα ὑβρίζεσθαι τὴν ἐπίκληρον ὑπὸ τοῦ οὕτως ἐγγυήσαντος αὐτήν;] Καὶ εἰ ἦν ἀληθῆ, ἃ νυνὶ τετόλμηκας μαρτυρῆσαι, παραχρῆμα εὐθὺς τότε ἐτιμωρήσω ἂν τὸν ἀντιδικοῦντα, ἢ καὶ ταῦτα λαθεῖν σεαυτὸν προσποιήσῃ; Ἔπειτ' οὐδ' ἐκ τῆς ἐπιδοθείσης αὐτῇ προικὸς ᾔσθου;[6] ὥστε καὶ δι' αὐτὸ τοῦτο ἀγανακτήσαντι δήπου σοὶ εἰσαγγεῖλαι τὸν Ἔνδιον προσῆκεν, αὐτὸς μὲν τριτάλαντον οἶκον ἔχειν ἠξίου, ὡς προσῆκον αὐτῷ, τῇ δὲ γνησίᾳ οὔσῃ τρισχιλίας δραχμὰς προῖκα ἐπιδοὺς, ἐκδοῦναι ἠξίωσεν ἄλλῳ. Εἶτ' ἐπὶ τούτοις οὐκ ἀγανακτήσας εἰσήγγειλεν ἂν τὸν Ἔνδιον οὗτος; Ναὶ μὰ Δία, εἴγε ἦν ἀληθὲς τὸ πρᾶγμα.

§ 13. Οἶμαι δὲ οὐδ' ἂν τὴν ἀρχὴν ἐκεῖνον οὐδ' ἄλλον δὲ τῶν εἰσποιήτων οὐδένα οὕτως εὐήθη, οὐδ' ἂν ὀλίγωρον τῶν νόμων τῶν κειμένων γίνεσθαι, ὥσθ' ὑπαρχούσης γνησίας θυγατρὸς τῷ τὸν κλῆρον καταλιπόντι, ἑτέρῳ δοῦναι ταύτην ἀνθ' ἑαυτοῦ.[2] Ἀκριβῶς γὰρ ᾔδει διότι τοῖς γε ἐκ τῆς γνησίας θυγατρὸς παισὶ γεγονόσιν ἁπάντων τῶν παππῴων κληρονομία προσήκει. Εἶτα εἰδὼς ἄν τις ταῦτα, ἑτέρῳ παραδοίη τὰ αὑτοῦ; καὶ ταῦτα[3] τηλικαῦτα ὄντα, ὅσων ἠμφισβήτησαν οὗτοι; Δοκεῖ δ' ἄν τις ὑμῖν οὕτως ἀναιδὴς ἢ τολμηρὸς εἰσποίητος γενέσθαι, ὥστε μηδὲ τὸ δέκατον μέρος[4]

---

Πρυτανία μὲν ἀργύριόν τι ἦν, ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι καὶ ὁ φεύγων καὶ ὁ διώκων· ἐζημιοῦτο δὲ ταῦτα ὁ ἡττώμενος. Παράστασις δὲ, δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας. Εἰσαγγελία δὲ, ἡ εἰς τὸ δικαστήριον ἀγγελία περί τινος δημοσίας δίκης· τρία δὲ εἴδη ταύτης· πρώτη ἡ ἐπὶ δημοσίοις ἀδικήμασι μεγίστοις, ἐφ' οἷς μήτε ἀρχὴ καθέστηκε, μήτε νόμοι κεῖνται καὶ ἡ βουλὴ ἢ ὁ δῆμος δικάζει· καὶ αἱ ζημίαι τῷ μὲν φεύγοντι μέγισται, ἐὰν ἁλῷ, τῷ δὲ διώκοντι ἐὰν μὴ ἕλῃ, οὐδεμία· δευτέρα δὲ, ἡ ἐπὶ ταῖς κακώσεσι καὶ τρίτη ἡ κατὰ τῶν διαιτητῶν. Βαρῖνος. — 4. Τοῖς διώκουσιν . . . τῷ βουλομένῳ.) Ἔδει εἰπεῖν τῶν διωκόντων τῷ βουλομένῳ, ἵν' ᾖ διαιρετικῶς· ἀλλὰ προθεὶς τὸ ὅλον κατὰ τὴν πτῶσιν ἣν ἀπῄτει ἡ σύνταξις, εἶτα ἐπήγαγε τὸ μέρος κατὰ πτῶσιν πάλιν, ἣν ἀπῄτει ἡ σύνταξις· τὸν τρόπον τοῦ λέγειν μιμούμενος, χαίρειν ἐάσας τὸ ἀκριβολογεῖσθαι περὶ τὰ τοιαῦτα· ὃ δὴ οἱ ἀγνοοῦντες σόλοικα ταῦτα λέγουσιν. — 5. Ἔπειτα.) Τὸ τοιοῦτον περιττόν τι δοκεῖ, διὰ ταῦτα καὶ ἐν παραθέσει ἐκδίδοται, μέχρι τοῦ, ἐγγυήσαντος αὐτήν. — 6. Ἤσθου.) Ὑπακούεται τὴν σὴν ἀδελφιδῆν ἀδικεῖσθαι ὑπὸ Ἐνδίου.

§ 13. 2. Ἀνθ' ἑαυτοῦ.) Ἀντὶ τοῦ λαβεῖν αὐτὸς αὐτήν. — 3. Καὶ ταῦτα.) Παραδοίη ἑτέρῳ. — 4. Τὸ δέκατον μέρος.) Ἑκατὸν δραχμαὶ ποιοῦσι μίαν μνᾶν· ἑξήκοντα μναῖ ἓν τάλαντον, ὥστε τὸ τάλαντον 6000 δραχμὰς περιέχει· αἱ ἄρα 3000 δραχμαὶ ἡμιτάλαντον· καὶ οὕτω τὸ ἕκτον μέρος ἔδωκεν ὁ Ἔνδιος·



ΙΩΑΝΝΙΝΑ 2006

ἐπιδοὺς ἐκδοῦναι τῇ γνησίᾳ θυγατρὶ τῶν πατρῴων; Γενομένων δὲ τούτων, δοκεῖ ἂν ἡμῖν ὁ θεῖος[5] ἐπιτρέψαι, ὃ ἐγγυῆσαι μεμαρτυρηκὼς αὐτῆς τὴν μητέρα; Ἐγὼ μὲν γὰρ οὐ νομίζω. Ἀλλὰ καὶ ἠμφισβήτησεν ἂν τοῦ κλήρου, καὶ διεμαρτύρησε, καὶ εἰσήγγειλεν ἂν πρὸς τὸν ἄρχοντα· καὶ ἄλλο εἴτι[6] ἦν ἰσχυρότερον τούτων, ἅπαντ' ἂν διεπράξατο. Ὁ μὲν τοίνυν Ἔνδιος ὡς ἐξ ἑταίρας οὖσαν ἐνεγγύησεν, ἥν φησιν ἀδελφιδῆν Νικόδημος εἶναι αὐτῷ· οὗτος δὲ οὔτε τῷ Ἐνδίῳ τοῦ Πύῤῥου κλήρου ἀμφισβητῆσαι ἠξίωσεν, οὔτ' ἐγγυήσαντα τὴν ἀδελφιδῆν, οὖσαν ἐξ ἑταίρας, εἰσαγγεῖλαι πρὸς τὸν ἄρχοντα ἠξίωσεν, οὔτ' ἐπὶ τῇ δοθείσῃ προικὶ αὐτῇ ἠγανάκτησεν οὐδέν· ἀλλὰ πάντα ταῦτα εἴασε γενέσθαι. Οἱ δὲ νόμοι περὶ ἁπάντων διορίζουσι τούτων. Ἀναγνώσεται οὖν πρῶτον ὑμῖν τὴν περὶ τῆς ἐπιδικασίας τοῦ κλήρου μαρτυρίαν πάλιν·[7] ἔπειτα τὴν περὶ τῆς ἐγγυήσεως τῆς γυναικός.[8] Ἀναγίνωσκε αὐτοῖς. Μαρτυρίαι.[9] Ἀνάγνωθι καὶ τοὺς νόμους. Νόμοι. Λάβε δὴ καὶ τὴν τούτου μαρτυρίαν. Μαρτυρία.[10] Πῶς οὖν τις σαφέστερον ἐξελέγχοι ψευδομαρτυριῶν διώκων, ἢ ἔκ τε τῶν πεπραγμένων αὐτοῖς τούτοις ἐπιδεικνύων, καὶ ἐκ τῶν νόμων ἁπάντων τῶν ἡμετέρων. Περὶ μὲν οὖν τούτου[11] σχεδὸν εἴρηται τὰ πολλά.[12]

§ 14. Σκέψασθε δὲ καὶ περὶ μὲν τοῦ ἔχοντος[2] τὴν ἀδελφιδῆν τὴν τούτου γυναῖκα, ἐὰν ἄρα τι γένηται καὶ ἐκ τούτου τεκμήριον ὡς ἔστι ψευδῆ τὰ μεμαρτυρημένα Νικοδήμῳ. Ὡς μὲν οὖν ἐνεγγυήσατο, καὶ ἔλαβεν ὡς οὖσαν ἐξ ἑταίρας τὴν γυναῖκα, ἐπιδέδεικται καὶ μεμαρτύρηται· ὡς δ' ἀληθὴς ἡ μαρτυρία ἐστὶν αὕτη, ὁ Ξενοκλῆς αὐτὸς ἔργῳ οὐκ ὀλίγον χρόνον ἤδη [ἀληθῆ ταῦτα[3]] μεμαρτύρηκε. Δῆλον γάρ, ὅτι εἰ μὴ ἐνεγγύητο παρὰ τοῦ Ἐνδίου ὡς ἐξ ἑταίρας οὖσαν τὴν γυναῖκα, ὄντων αὐτῷ παίδων ἤδη τηλικούτων ἐκ τῆς γυναικός, ζῶντι ἂν τῷ Ἐνδίῳ ἠμφισβήτησε περὶ τῆς γνησίας θυγατρὸς τῶν πατρῴων· ἄλλως τε καὶ παρεσκευα-

---

τὸ ἄρα δέκατον μήποτε ἐστὶν ἀντὶ τοῦ ἕκτον, ἤγουν τὸ, τρισχιλίας, μήποτε ἐστὶν ἀντὶ τοῦ χιλίας, τὸ δεύτερον δοκεῖ πιθανώτερον· οὕτω γὰρ ἐδύνατο λέγειν οὐδὲ τὸ δέκατον μέρος· αἱ γὰρ χίλιαι δραχμαὶ πρὸς τὰ τρία τάλαντα 18000 δραχμὰς περιέχοντα ὀκτωκαιδέκατον μέρος εἰσίν· ἔλαττον πολὺ τοῦ δεκάτου. — 5. Ὁ θεῖος) Τῆς Φίλης ὁ Νικόδημος — 6. Καὶ ἄλλο εἴτι.) Ἀορίστως λαμβανόμενον πλῆθος σημαίνει· ὅθεν καὶ τὸ Ἅπαντα ἀπήντησεν ἐν πληθυντικῷ κατ' ἐπεξήγησιν. — 7. Πάλιν.) Ἀνεγνώσθη δὲ καὶ πρότερον. — 8. Τῆς γυναικός.) Φίλης, δηλ. ἣν ἐγγυήσατο Ἔνδιος τῷ Ξενοκλεῖ. — 9. Μαρτυρίαι.) Δύο δέ εἰσιν αὗται· πρώτη, καθ' ἣν Νικόδημος οὐκ ἀντέλεξεν, Ἐνδίου κληρονομοῦντος, Ξενοκλεῖ· δευτέρα, ὅτι ὁ Ἔνδιος ἐγγύησε Ξενοκλεῖ τὴν νόθον θυγατέρα Πύῤῥου Φίλην. — 10. Μαρτυρία.) Ἡ τοῦ Νικοδήμου ἐν ᾗ λέγει Φίλην γνησίαν θυγατέρα Πύῤῥου, ὡς τῆς ἀδελφῆς αὐτοῦ νομίμου, γυναικὸς ἐκείνου γενομένης. — 11. Τούτου.) Τοῦ Νικοδήμου δηλ. — 12. Τὰ πολλά.) Ὑπακούεται ἃ εἶχον εἰπεῖν.

§ 14. 2. Καὶ περὶ μὲν τοῦ ἔχοντος) Τοῦ Ξενοκλέους δηλαδή. — 3. Ἀληθῆ ταῦτα.)

σμένος μὴ ὁμολογεῖν τὴν τοῦ Ἐνδίου ποίησιν[4] τῷ Πύῤῥῳ γενέσθαι· ὡς δὴ οὐχ ὁμολογῶν πῶς ἐπεσκήπτετο τοῖς μεμαρτυρηκόσιν ἐπὶ τῇ διαθήκῃ τοῦ Πύῤῥου παραγενέσθαι. Καὶ ὡς ἀληθῆ λέγω, ἀναγνώσεται ἡμῖν τὴν μαρτυρίαν τὴν μαρτυρηθεῖσαν.[5] Ἀναγίνωσκε αὐτοῖς. Μαρτυρία. Ἀλλὰ μὴν κἀκεῖνό γε δῆλον, ὡς [οὐχ] ὁμολογοῦσι τὴν τοῦ Ἐνδίου ποίησιν ὑπὸ τοῦ Πύῤῥου γενέσθαι. Οὐ γὰρ ἄν[6] ὑπερβάντες τὸν τελευταῖον τοῦ οἴκου γεγεννημένον κληρονόμον, ὑπὲρ τῆς γυναικός, τοῦ Πύῤῥου κλήρου λαχεῖν τὴν λῆξιν ἠξίωσαν οὗτοι. Ὁ μὲν γὰρ Πύῤῥος πλείω ἢ εἴκοσιν ἔτη τετελεύτηκεν ἤδη· ὁ δὲ Ἔνδιος, τοῦ Μεταγειτνιῶνος μηνὸς πέρυσιν, ἐν ᾧ ἔλαχον τοῦ κλήρου τὴν λῆξιν τρίτῃ ἡμέρᾳ εὐθέως[7] οὗτοι. Ὁ δὲ νόμος πέντε ἐτῶν κελεύει δικάσασθαι τοῦ κλήρου, ἐπειδὰν τελευτήσῃ ὁ κληρονόμος. Οὐκοῦν δυοῖν τὰ ἕτερα προσῆκε τῇ γυναικί, ἢ ζῶντι τῷ Ἐνδίῳ ἀμφισβητῆσαι τῶν πατρῴων, ἢ ἐπειδὴ τετελευτηκὼς ἦν ὁ εἰσποίητος, τῶν τοῦ ἀδελφοῦ[8] τὴν ἐπιδικασίαν ἀξιοῦν ποιεῖσθαι. Ἄλλως τε καὶ εἰ, ὥς φασιν οὗτοι, ἠγγυήκει αὐτὴν τῷ Ξενοκλεῖ ὡς γνησίαν ἀδελφὴν οὖσαν αὑτῷ. Ἀκριβῶς γὰρ ἐπιστάμεθα πάντες, ὅτι ἀδελφῶν μὲν κλήρων ἐπιδικασία πᾶσιν ἐστὶν ὑμῖν· ὅτῳ δὲ μόνῳ[9] γεγόνασι γνήσιοι παῖδες, οὐδενὶ ἐπιδικάζεσθαι τῶν πατρῴων προσήκει. Καὶ περὶ τούτων οὐδένα λόγον λεχθῆναι δεῖ. Ἅπαντες γὰρ ὑμεῖς καὶ οἱ ἄλλοι πολῖται ἀνεπίδικα ἔχουσι[10] τὰ ἑαυτῶν ἕκαστοι πατρῷα.

§ 15. Οὗτοι τοίνυν εἰς τοῦτο τόλμης ἀφιγμένοι εἰσίν, ὥστε τῷ μὲν εἰσποιήτῳ οὐκ ἔφασαν ἐπιδικάσασθαι προσήκειν τῶν δοθέντων· τῇ δὲ Φίλῃ, ἥν φασι θυγατέραν γνησίαν τῷ Πύῤῥῳ καταλελεῖφθαι, λαχεῖν τοῦ κλήρου τοῦ πατρῴου ἠξίωσαν. Καί τοι (ὅπερ εἶπον καὶ πρότερον) ὅσοι μὲν καταλίπωσι γνησίους παῖδας ἐξ αὐτῶν, οὐ προσήκει τοῖς παισὶν ἐπιδικάσασθαι τῶν πατρῴων· ὅσοι δὲ διαθήκας αὐτοὶ εἰσποιοῦνται, τούτοις ἐπιδικάζεσθαι προσήκει τῶν δοθέντων. Τοῖς μὲν γάρ, ὅτι γόνῳ γεγόνασιν, οὐδεὶς ἂν δήπου ἀμφισβητήσειε περὶ τῶν πατρῴων· πρὸς δὲ τοὺς εἰσποιή-

---

Ὅτι εἰσὶ ταῦτα ἀληθῆ. — 4. Ποίησιν.) Ὅτι δηλ. Πύῤῥος υἱοποιήσατο Ἔνδιον. — 5. Τὴν μαρτυρηθεῖσαν.) Ὑπακούεται ὑπὸ τῶν μεμαρτυρηκότων ἑαυτοὺς παραγενέσθαι Πύῤῥῳ διατιθεμένῳ. — 6. Οὐ γὰρ ἄν.) Εἰ ὁμολόγουν δηλ. — 7. Εὐθέως.) Ὑπακούεται Μετὰ τὴν Ἐνδίου τελευτήν. — 8. Τῶν τοῦ ἀδελφοῦ.) Μὴ Πύῤῥου τὸν κλῆρον ζητεῖν, ἀλλ' Ἐνδίου· ὡς δῆθεν μόνη ἀδελφὴ οὖσα αὐτοῦ, μηδενὸς πλὴν ταύτης μήτε ἀδελφοῦ μήτε ἀδελφῆς αὐτῷ καταλειφθείσης. — 9. Ὅτῳ δὲ μόνῳ.) Μόνῳ δὲ ἐκείνῳ, ὅτῳ παῖδες γνήσιοι γεγόνασιν, οὐ προσήκει ἐπιδικάζεσθαι τῶν πατρῴων οὐδενί. — 10. Ὑμεῖς καὶ οἱ ἄλλοι . . . ἔχουσι.) Τὸ ῥῆμα ἀπεδόθη οὐ πρὸς τὸ ἐπικρατέστερον πρὸς δὲ τὸ ἐγγύτερον· καὶ τοῦτο διὰ τὸ ἐπακολουθεῖν ἕκαστος· ἔδει γὰρ τὰ πρῶτα κατὰ γενικὴν διαιρετικῶς προσενεγκεῖν· ἀλλὰ τὸ ἔθος τοιοῦτον ἦν, οἱ δὲ κανόνες ὕστερον ἐγένοντο.

τους ἅπαντες οἱ κατὰ γένος προσήκοντες ἀμφισβητεῖν· ἀξιοῦσιν. Ἵνα οὖν μὴ παρὰ τοῦ ἐντυχόντος τῶν κλήρων αἱ λήξεις τοῖς ἀμφισβητεῖν βουλομένοις[2] γίγνωνται, καὶ μὴ ὡς ἐρήμων τῶν κλήρων ἐπιδικάζεσθαι τινὲς τολμῶσι, τούτου ἕνεκα τὰς ἐπιδικασίας οἱ εἰσποίητοι πάντες ποιοῦνται.

§ 16. Μηδεὶς οὖν ὑμῶν,[2] εἰ ἐνόμιζε γνησίαν εἶναι τὴν ἑαυτοῦ γυναῖκα Ξενοκλῆς, λαχεῖν ἂν ὑπὲρ αὐτῆς τὴν λῆξιν τοῦ κλήρου τοῦ πατρῴου, ἀλλ' ἐβάδιζεν ἂν ἡ γνησία εἰς τὰ ἑαυτῆς πατρῷα· καὶ εἴτις αὐτὴν ἀφῃρεῖτο, ἢ ἐβιάζετο, ἐξῆγεν ἂν ἐκ τῶν πατρῴων. Καὶ οὐκ ἂν ἰδίας μόνον δίκας ἔφευγεν ὁ βιαζόμενος, ἀλλὰ καὶ δημοσίᾳ εἰσαγγελθεὶς εἰς τὸν ἄρχοντα, ἐκινδύνευεν ἂν περὶ τοῦ σώματος καὶ τῆς οὐσίας ἁπάσης τῆς ἑαυτοῦ. Ἔτι δ' ἂν πρότερον τοῦ Ξενοκλέους οἱ τοῦ Πύῤῥου θεῖοι, εἰ ᾔδεσαν γνησίαν θυγατέρα τῷ ἑαυτῶν ἀδελφιδῷ καταλειπομένην, καὶ ἡμῶν μηδένα λαμβάνειν ἐθέλοντα αὐτήν, οὐκ ἂν ποτὲ ἐπέτρεψαν Ξενοκλέα, τὸν μηδαμόθεν μηδὲν τῷ γένει προσήκοντα Πύῤῥῳ, λαβόντα ἔχειν τὴν κατὰ γένος προσήκουσαν αὐτοῖς γυναῖκα. Ἦ δεινόν γ' ἂν εἴη. Τὰς μὲν ὑπὸ τῶν πατρῴων ἐκδοθείσας καὶ συνοικούσας ἀνδράσι γυναῖκας (περὶ ὧν τίς ἂν ἄμεινον ἢ ὁ πατὴρ βουλεύσαιτο;) καὶ τὰς οὕτω δοθείσας, ἂν ὁ πατὴρ αὐτῶν τελευτῆσαι μὴ ἐγκαταλιπὼν αὐταῖς γνησίους ἀδελφούς, τοῖς ἐγγύτητα γένους ἐπιδίκους ὁ νόμος εἶναι κελεύει· καὶ πολλοὶ συνοικοῦντες ἤδη ἀφῄρηνται[3] τὰς ἑαυτῶν γυναῖκας. Εἶτα τὰς μὲν ὑπὸ τῶν πατρῴων ἐκδοθείσας, διὰ τὸν νόμον ἐξ ἀνάγκης ἐπιδίκους εἶναι προσήκει· Ξενοκλεῖ δὲ[4] ἄν τις τῷδε ἐπέτρεψε τῶν τοῦ Πύῤῥου θείων, εἰ ἦν γνησία θυγάτηρ ἐκείνῳ καταλειπομένη, λαβόντα ἔχειν τὴν κατὰ γένος προσήκουσαν αὐτοῖς γυναῖκα; καὶ τοσαύτης οὐσίας τοῦτον καταστῆναι κληρονόμον ἀνθ' ἑαυτῶν;[5] Μὴ νομίσητε ὑμεῖς, ὦ ἄνδρες. Οὐδεὶς γὰρ ἄλλους περὶ πλείονος ἑαυτοῦ ποιεῖται.

§ 17. Ἐὰν οὖν προφασίζωνται διὰ τὴν τοῦ Ἐνδίου ποίησιν μὴ ἐπίδικον εἶναι τὴν γυναῖκα, καὶ διὰ ταῦτα μὴ φῶσιν[2] ἀμφι-

---

§ 15. 2. Τοῖς ἀμφισβητεῖν βουλομένοις.) Ὅπερ ἐστὶ τοῖς κληρονομεῖν βουλομένοις· ὁ γὰρ ἀμφισβητῶν περὶ κλήρου, κληρονομεῖν βούλεται.

§ 16. 2 Μηδεὶς οὖν ὑμῶν.) Ἐνταῦθα ἐλλείπει ἤτοι οἰέσθω ὅτι, εἰ τοιοῦτό τι ἵν' ᾖ τὸ πλῆρες, μηδεὶς οὖν ὑμῶν οἰέσθω ὅτι, εἰ ἐνόμιζε γνησίαν εἶναι τὴν ἑαυτοῦ γυναῖκα Ξενοκλῆς, ἠξίωσεν ἂν λαχεῖν ὑπὲρ αὐτῆς· καὶ τλ. αἱ δὲ τοιαῦται ἐλλείψεις οὐ δοκοῦσιν Ἑλληνισμοῦ εἶναι, ἀλλὰ παραλείψεις τῶν ἀντιγραφέων, ὑπὸ ἀπροσεξίας γενόμεναι· τὰ γὰρ ἐλλείποντα ἐξ ἰδιώματος τῆς γλώσσης, γνωστά, ἢ προειρημένα. — 3. Ἀφῄρηνται.) Πολλοὶ δηλονότι ἔχοντες τοιαύτας γυναῖκας, ἀφῄρηνται τούτων παρὰ τῶν συγγενῶν. — 4. Ξενοκλεῖ δέ.) Ξενοκλεῖ δὲ τῷδε ἐπέτρεψεν ἄν τις τῶν. — 5. Ἀνθ' ἑαυτῶν.) Καὶ μὴ γένωνται αὐτοὶ κληρονόμοι.

§ 17 2. Φῶσιν.) Οἱ θεῖοι τοῦ Πύῤ-

σθητῆσαι αὐτῆς, πρῶτον μὲν ἐκεῖνα αὐτοὺς ἐρέσθαι χρή, εἰ ὁμολογοῦντες τὴν τοῦ Ἐνδίου ποίησιν ὑπὸ τοῦ Πύῤῥου γενέσθαι, ἐπεσκημμένοι εἰσὶ τοῖς μεμαρτυρηκόσι ταῦτα· εἶτα παρελθόντες τὸν τελευταῖον τοῦ οἴκου γεγεννημένον κληρονόμον τοῦ Πύῤῥου, τὴν λῆξιν λαχεῖν ἠξίωσαν παρὰ τὸν νόμον. Πρὸς δὲ τούτοις, ἐκεῖνο αὐτοὺς ἔρεσθε, εἴτις τῶν γνησίων τῶν αὐτοῦ[3] ἐπιδικάζεσθαι ἀξιοῖ. Ταῦτα[4] πρὸς τὴν ἀναίδειαν αὐτῶν πυνθάνεσθε. Ὡς δ' ἦν ἐπίδικος ἡ γυνή, εἴπερ γνησία κατελείφθη, ἐκ τῶν νόμων σαφέστατα μαθεῖν ἐστὶ τοῦτο. Ὁ γὰρ νόμος διαῤῥήδην λέγει. «Ἐξεῖναι διαθέσθαι ὅπως ἂν ἐθέλῃ τὶς τὰ αὐτοῦ· ἐὰν μὴ παῖδας γνησίους καταλίπῃ ἄῤῥενας· ἂν δὲ θηλείας καταλίπῃ ἐπὶ ταύταις.[5]» Οὐκοῦν μετὰ τῶν θυγατέρων ἔστι δοῦναι καὶ διαθέσθαι τὰ αὑτοῦ· ἄνευ δὲ τῶν γνησίων θυγατέρων οὐχ οἷόν τε οὔτε ποιήσασθαι[6] οὔτε δοῦναι οὐδενὶ οὐδὲν τῶν ἑαυτοῦ. Οὐκοῦν εἰ μὲν ἄνευ τῆς γνησίας θυγατρὸς τὸν Ἔνδιον Πύῤῥος ἐποιεῖτο υἱὸν αὐτῷ, ἄκυρος ἂν ἦν αὐτοῦ ἡ ποίησις κατὰ τὸν νόμον· εἰδὲ τὴν θυγατέρα ἐδίδου, καὶ ἐπὶ τούτῳ[7] ποιησάμενος κατέλιπε, πῶς ἂν ὑμεῖς ἐπετρέψατε ἐπιδικάζεσθαι τὼ τοῦ Πύῤῥου θείω[8] τὸν Ἔνδιον τοῦ Πύῤῥου κλήρου, ἄνευ τῆς γνησίας θυγατρός, εἰ ἦν ἐκείνῳ; ἄλλως τε εἰ[9] ἐμαρτυρήσατε ὡς ἐπέσκηψεν ὑμῖν ὁ ἀδελφιδοῦς ἐπιμελεῖσθαι τούτου τοῦ παιδίου. Ἀλλ', ὦ 'γαθέ,[10] τοῦτο μὲν καὶ λαθεῖν φήσαιτ' ἂν[11] ὑμᾶς· ὅτε δ' ἐγγύα καὶ ἐξεδίδου ὁ Ἔνδιος, τῇ γυναικὶ[12] ἐπετρέπετε ὑμεῖς οἱ θεῖοι τὴν τοῦ ἀδελφιδοῦ τοῦ ὑμετέρου αὐτῶν, ὡς ἐξ ἑταίρας οὖσαν ἐκείνῳ,[13] ἐγγυᾶσθαι· ἄλλως τε καὶ παραγενέσθαι φάσκοντες, ὅτε ὁ ἀδελφιδοῦς ὑμῶν ἐνεγγυᾶτο τὴν μητέρα τὴν ταύτης, κατὰ νόμους ἕξειν γυναῖκα· ἔτι δὲ καὶ ἐν τῇ δεκάτῃ ταύτης κληθέντες συνεστιᾶσθαι.[14] Πρὸς δὲ τούτοις· (τουτὶ γὰρ τὸ δεινόν ἐστιν) ἐπισκῆψαι φάσκοντες ὑμῖν τὸν ἀδελφιδοῦν ἐπιμελεῖσθαι τούτου τοῦ παιδίου, οὕτως ἐπιμελήθητε ὥστ' ἐᾶσαι ὡς ἐξ ἑταίρας οὖσαν αὐ-

---

ῤου. — 3. Τῶν γνησίων τῶν αὐτοῦ.) Εἴ τις δηλονότι τῶν γνησίων παίδων ἀξιοῖ ἐπιδικάζεσθαι τῶν ἑαυτοῦ χρημάτων· τὰ γὰρ τοῦ πατρὸς ἑαυτοῦ εἰσὶ μετὰ θάνατον. — 4. Ταῦτα.) Ὑπακούεται γενέσθαι. — 5. Ἐπὶ ταύταις.) Ἀπὸ κοινοῦ, Ἐξεῖναι διαθέσθαι τὰ ἑαυτοῦ. — 6. Ποιήσασθαι.) Ὁ νοῦς· Ἐὰν ὁ ἔχων νόμιμον θυγατέρα, υἱοθετῆσαι ἄλλον υἱὸν βουληθῇ, οὐκ ἔξεστιν αὐτῷ ποιῆσαι τοῦτο· εἰμὴ ὁ υἱοθετηθεὶς οὗτος τὴν προσποιητὴν ἀδελφὴν εἰς γυναῖκα ἀγάγηται. — 7. Καὶ ἐπὶ τούτῳ.) Ἵνα δηλονότι ἀγάγηται εἰς γυναῖκα τὴν θυγατέρα, εἰσποιήσατο αὐτὸν υἱόν, καὶ κατέλιπε τὸν κλῆρον. — 8. Τὼ... θείω.) Ὑμεῖς οἱ δύο θεῖοι τοῦ Πύῤῥου. — 9. Ἄλλως τε εἰ.) Καὶ μάλιστα, ἐπειδὴ ἐμαρτυρήσατε. — 10. Ἀλλ' ὦ 'γαθέ.) Πρὸς δύο λέγων, εἰς ἕνα μετέφερε τὸν λόγον· ἔθος δὲ τοῦτο τοῦ λέγειν, ὥσπερ καὶ τὸ φέρε πρὸς πληθυντικόν· οὐ γὰρ εἴθισται τὸ, ὦ 'γαθέ, ἄλλως ἢ καθ' ἑνικὸν ἐκφέρεσθαι. — 11. Φήσαιτ' ἄν.) Ὅτι τοῦτο ἔλαθεν ὑμᾶς. — 12. Τῇ γυναικί.) Φίλη. — 13. Ἐκείνῳ.) Τῷ Πύῤῥῳ γεγεννημένην. — 14. Συνεστιᾶσθαι.) Ἀπὸ τοῦ, Φάσκοντες.

τὴν ἐγγυᾶσθαι, ἄλλως τε καὶ ἔχουσαν τοὔνομα τῆς ὑμετέρας αὐτῶν ἀδελφῆς, ὡς ἐμαρτυρεῖτε.

§ 18. Ἐκ τοίνυν τούτων, ὦ ἄνδρες, καὶ ἐξ αὐτοῦ τοῦ πράγματος ῥᾴδιόν ἐστι γνῶναι· ὅσον ἀναισχυντότατοι ἀνθρώπων εἰσὶν οὗτοι. Τίνος γὰρ ἕνεκα, εἰ ἦν γνησία θυγάτηρ τῷ ἡμετέρῳ θείῳ καταλειπομένη, ποιησάμενος ὁ θεῖος κατέλιπε τὸν ἐμὸν ἀδελφὸν[2] υἱὸν ἑαυτῷ; Πότερον, ὅτι προσήκοντες αὐτῷ ἐγγυτέρω γένους ἡμῶν ἦσαν ἄλλοι, οὓς βουλόμενος τὴν ἐπιδικασίαν τῆς θυγατρὸς ἀποστερῆσαι, ἐποιεῖτο τὸν ἀδελφὸν υἱὸν αὐτῷ; Ἀλλ' οὔτε ἐγένετο, οὔτ' ἔστι.[3] Μὴ γενομένων δὲ παίδων[4] γνησίων ἐκείνῳ, ἐγγυτέρω ἡμῶν οὐδείς. Ἀδελφὸς μὲν γὰρ οὐκ ἦν αὐτῷ, οὐδ' ἀδελφοῦ παῖδες· ἐκ δὲ τῆς ἀδελφῆς ἡμεῖς ἦμεν αὐτῷ. Ἀλλὰ νὴ Δία ἄλλον τινὰ ποιησάμενος τῶν συγγενῶν, ἔδωκεν ἂν ἔχειν τὸν κλῆρον καὶ τὴν θυγατέρα τὴν ἑαυτοῦ; Καὶ τί ἐχρῆν αὐτὸν καταφανῶς καὶ ὁτιοῦν ἀπέχεσθαι τῶν οἰκείων, ἐξόν, εἴπερ ἦν ἐγγυημένος τὴν ἀδελφὴν τοῦ Νικοδήμου, τὴν θυγατέρα τὴν ἐκ ταύτης ἀποφανθεῖσαν εἶναι, εἰς τοὺς φράτορας εἰσαγαγόντι ὡς οὖσαν γνησίαν ἑαυτῷ, ἐπὶ ἅπαντι τῷ κλήρῳ ἐπίδικον καταλιπεῖν αὐτήν, καὶ ἐπισκῆψαι τῶν γιγνομένων τῆς θυγατρὸς παίδων εἰσαγαγεῖν υἱὸν ἑαυτῷ. Δῆλον μὲν γάρ, ὅτι ἐπίκληρον μὴ καταλιπών, ἀκριβῶς ἂν ᾔδει, ὅτι δυοῖν θάτερον ἔμελλεν ὑπάρχειν αὐτῇ. Ἢ γὰρ ἡμῶν τινα τῶν ἐγγύτατα γένους ἐπιδικασάμενον ἕξειν γυναῖκα, ἤ, εἰ μηδεὶς ἡμῶν ἐβούλετο λαμβάνειν, τῶν θείων τινὰ τούτων τῶν μαρτυρούντων·[5] εἰ δὲ μή,[6] τῶν ἄλλων τινὰ συγγενῶν, τὸν αὐτὸν τρόπον περὶ πάσης τῆς οὐσίας ἐπιδικασάμενον, κατὰ τοὺς νόμους ἕξειν ταύτην γυναῖκα. Οὐκοῦν ἐκ μὲν τοῦ τὴν θυγατέρα εἰς τοὺς φράτορας εἰσαγαγεῖν, καὶ μὴ ποιήσασθαι τὸν ἐμὸν ἀδελφὸν υἱὸν αὐτῷ, ταῦτ' ἂν διεπράξατο· ἐκ δὲ τοῦ τὸν μὲν ποιήσασθαι, τὴν δὲ μὴ εἰσαγαγεῖν, τὴν μὲν νόθην, ὥσπερ αὐτῷ προσῆκε, καὶ ἄκληρον κατέστησε· τὸν δέ, κληρονόμον κατέλιπε τῶν ἑαυτοῦ. Ἀλλαμὴν ὥς γε οὔτε γαμηλίαν εἰσήνεγκεν ὁ θεῖος ἡμῶν, οὔτε τὴν θυγατέρα, ἥν φασι γνησίαν αὐτῷ εἶναι οὗτοι, εἰσαγαγεῖν εἰς τοὺς φράτορας ἠξίωσε, καὶ ταῦτα τοῦ νόμου[7] ὄντος αὐτοῖς ἀναγνώσεται δὲ ὑμῖν τὴν τῶν φρατόρων τῶν

§ 18. 2. Τὸν ἀδελφόν.) Ὑπακούεται· Τὸν ἐμόν. — 3. Οὔτ' ἐγένετο, οὔτ' ἔστι.) Ἐλλείπει Θυγάτηρ Πύῤῥου κατὰ θεσμὸν γεννηθεῖσα. — 4 Παίδων.) Ὑπακούεται, ὁντινασοῦν. — 5. Τῶν μαρτυρούντων) Τῷ Ξενοκλεῖ· ἀπὸ κοινοῦ δὲ τό, Ἐπιδικασάμενον ἕξειν γυναῖκα. — 6. Εἰ δὲ μή.) Μήτε ἡμῶν μήτε τῶν θείων τις ἐπιδικασάμενος σχῇ, γυναῖκα ἔμελλεν ὑπάρχειν αὐτῇ ἐπιδικασάμενον ἕξειν γυναῖκα ταύτην τὸν αὐτὸν τρόπον, κατὰ τοὺς νόμους. — 7. Καὶ ταῦτα τοῦ νόμου.) Καὶ ταῦτα ἐποίησεν ὄντος αὐτοῖς τοῦ νόμου τοιούτου δηλαδή· κελεύει γὰρ

Ε. Γ. Δ. της Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐκείνου μαρτυρίαν. Ἀναγίνωσκε· σὺ δ᾽[8] ἐπίλαβε τὸ ὕδωρ. **Μ α ρ τ υ ρ ί α.** Λάβε, καὶ ὡς[9] ἐποιήσατο τὸν ἐμὸν ἀδελφὸν υἱὸν αὑτῷ. **Μ α ρ τ υ ρ ί α.**

§ 19. Εἶτα ὑμεῖς τὴν Νικοδήμου μαρτυρίαν τῶν αὐτοῦ τοῦ θείου ἐκμαρτυριῶν[2] πιστοτέραν ἡγεῖσθε εἶναι; καὶ τὴν οὕτω κοινὴν τοῖς βουλομένοις γεγενημένην, ταύτην ἐπιχειρήσει τις ὑμᾶς πείθειν, ὅτι ἐγγυητὴν γυναῖκα ὁ ἡμέτερος θεῖος ἔσχεν; Ἀλλ᾽ ὑμεῖς οὐ πιστεύσετε, ἐὰν μὴ ἀποφαίνῃ ὑμῖν, ὅπερ ἀρχόμενος εἶπον τοῦ λόγου· πρῶτον μὲν ἐπὶ τίνι προικὶ οὗτος ἐγγυῆσαι τῷ Πύῤῥῳ φησὶ τὴν ἀδελφήν· ἔπειτα πρὸς ὁποῖον ἄρχοντα[3] ἡ ἐγγυητὴ γυνὴ ἀπέλιπε τὸν ἄνδρα, ἢ τὸν οἶκον τὸν αὐτοῦ· εἶτα παρ᾽ ὅτου ἐκομίσατο[4] τὴν προῖκα αὐτῆς, ἐπειδὴ τετελευτηκὼς ἦν ᾧ φησὶν αὐτὴν ἐγγυῆσαι. Ἢ εἰ ἀπαιτῶν μὴ ἐδύνατο κομίσασθαι ἐν εἴκοσιν ἔτεσιν, ὁποίαν δίκην σίτου, ἢ τῆς προικὸς αὐτῆς, ὑπὲρ τῆς ἐγγυητῆς γυναικὸς ἐδικάσατο τῷ ἔχοντι τοῦ Πύῤῥου κλῆρον οὗτος. Ἔτι δὲ πρὸς τούτοις ἐπιδειξάτω, ὅτι πρότερον ἢ ὕστερον ἐνεγγύησεν οὗτος τὴν ἀδελφήν, ἢ εἰ ἐξ ἄλλου[5] τινὸς γεγενημένοι εἰσὶ παῖδες αὐτῇ. Ταῦτα οὖν ἀξιοῦτε πυνθάνεσθαι παρ᾽ αὐτοῦ, καὶ περὶ τῆς τοῖς φράτορσι γαμηλίας μὴ ἀμνημονεῖτε. Οὐ γὰρ τῶν ἐλαχίστων πρὸς τὴν τούτου μαρτυρίαν τεκμήριόν ἐστι τοῦτο. Δῆλον γὰρ ὅτι, εἰ ἐπείσθη ἐγγυήσασθαι, ἐπείσθη ἂν καὶ γαμηλίαν ὑπὲρ αὐτοῖς τοῖς φράτορσιν εἰσενεγκεῖν, καὶ εἰσαγαγεῖν τὴν ἐκ ταύτης ἀποφανθεῖσαν θυγατέρα ὡς γνησίαν οὖσαν αὐτῷ, καὶ [ἔν τε τῷ δήμῳ] κεκτημένην τὴν τριτάλαντον οἶκον, εἰ ἦν γεγαμηκώς. Ἠναγκάζετο ἂν ὑπὲρ τῆς γαμετῆς γυναικὸς καὶ Θεσμοφόρια ἑστιᾷν[6] τὰς γυ-

ὁ νόμος ταῦτα γενέσθαι· ὅτι δὲ ταῦτα οὐκ ἐγένετο ἀναγνώσεται ὁ γραμματεὺς ὑμῖν τήν. — 8. Ἀναγίνωσκε· σὺ δ᾽.) Τὸ μὲν Ἀναγίνωσκε πρὸς τὸν γραμματέα τὸν ἐπὶ τὰ ψηφίσματα, καὶ τὰς μαρτυρίας, καὶ τοὺς νόμους ἀναγινώσκειν ὄντα· τὸ δὲ Σὺ δ᾽ ἐπίλαβε, πρὸς τὸν δημόσιον ὑπηρέτην ἐπιστάτην τῆς κλεψύδρας, ὕδωρ ἐν αὐτῇ ἐγχέοντα θεωροῦντα αὐτήν, καὶ ἐπίσχοντα ὁπότε προστάττεται· ὅρα κεφαλ. 4. σημειώσεις. — 9. Λάβε καὶ ὡς.) Λάβε δηλαδὴ καὶ τὴν μαρτυρίαν τὴν βεβαιοῦσαν ὡς ἐποιήσατο.

§ 19. 2. Ἐκμαρτυριῶν.) Τὰς γὰρ ἐγγράφους αὐτοῦ μαρτυρίας λέγει πρὸ εἴκοσι ἐτῶν ἀποθανόντος Πύῤῥου τοῦ ἑαυτῶν θείου. — 3. Πρὸς ὁποῖον ἄρχοντα.) Τίς ἦν δηλ. ἄρχων ἐπώνυμος τότε, ὅτε ἡ ἐγγυητὴ γυνή. — 4. Ἐκομίσατο) Νικόδημος, ὁ ἀδελφὸς αὐτῆς. — 5. Ἢ εἰ ἐξ ἄλλου.) Ὡς εἰ ἔλεγεν ἢ ὅτι ἐξ ἄλλου τινὸς, εἴ τις ἄλλος τοιοῦτός ἐστι, γεγενημένοι εἰσὶ παῖδες αὐτῇ. — 6. Θεσμοφόρια ἑστιᾷν.) Ἑορτὴ ἐν Ἀθήναις καθ᾽ ἕκαστον ἐνιαυτὸν ἀγομένη εἰς τιμὴν τῆς Δήμητρος ἦσαν τὰ Θεσμοφόρια ἤρχετο δὲ ἀπὸ τῆς δεκάτης τετάρτης Πυανεψιῶνος τῷ παρ᾽ ἡμῖν πως Νοεμβρίῳ ἀντεξεταζομένῳ· καὶ ἐτελεῖτο πενταήμερος· ἐν δὲ ταῖς πρώταις τρεῖς ἡμέραις αἱ γυναῖκες διῆγον νηστεύουσαι ἀπὸ πρωΐας μέχρις ἑσπέρας· τοῦτο δὲ σημεῖον τῆς σωφροσύνης ἦν αὐτῶν· διὰ ταῦτα δὴ, καὶ ἣν λέγουσι γαμετὴν Πύῤῥου, ἔδει ἐν τῇ τοιαύτῃ ἑορτῇ ἑστιᾷν, ἵνα φανῇ τὸ σῶφρον αὐτῆς, καὶ ὡς ἀνδρὶ συνοικεῖ ἐννόμως· καὶ οὐκ ἔστιν ἑταίρα· αἷς ἀπηγόρευται Θεσμοφόρια τελεῖν

γαῖκας, καὶ τἄλλα, ὅσα προσῆκε λειτουργεῖν ἐν τῷ δήμῳ, ὑπὲρ τῆς γυναικός, ἀπό γε οὐσίας τηλικαύτης. Οὐ τοίνυν φανεῖται οὐδὲν τούτων γεγενημένον οὐδεπώποτε. Οἱ μὲν οὖν φράτορες μεμαρτυρήκασιν ὑμῖν. Λάβε δὴ καὶ τὴν τῶν δημοτῶν ἐκείνου μαρτυρίαν.

# ΕΚ ΤΩΝ ΑΝΤΙΦΩΝΤΟΣ

## Λόγος περὶ χορευτοῦ.

### Ὑπόθεσις.

Χορευτὴς ἐστὶν ὁ χορηγός, ὁ τοὺς παῖδας τοὺς ἐν ἐλευθέροις καὶ ἄλλοις δημοσίοις ἀγῶσι χορεύσοντας ἰδίαις δαπάναις, ἢ τῆς φυλῆς ἀφ᾽ ἧς ὁ χορηγός, παρὰ τοῦ χοροδιδασκάλου διδαχθῆναι καὶ μαθεῖν φροντίζων. Ἤγετο οὖν ἑορτὴ κατὰ μῆνα Θαργηλιῶνα εἰς τιμὴν Ἀπόλλωνος, καὶ Ἀρτέμιδος, Θαργήλια καλουμένη· καὶ χορηγὸς ἔλαχεν, περὶ οὗ ὁ παρὼν λόγος Ἀντιφῶντι συνετέθη, ἐκ φυλῆς Ἐρεχθηΐδος, καὶ προσέτι Κεκροπίδος, (ἀπὸ γὰρ ἑκάστης φυλῆς εἷς χορηγὸς ᾑρεῖτο πρὸς τὸ τρέφειν χοροὺς παίδων τε καὶ ἀνδρῶν καὶ τὰ ἀναλώματα παρέχειν τὰ περὶ τὸν χορόν·) οὗτος ὁ χορηγὸς τοὺς χορεύειν μέλλοντας παῖδας ἐπὶ τῆς οἰκίας ἔτρεφε· τούτων εἷς εὐφωνίας χάριν ἔπιε φάρμακον καὶ πιὼν τέθνηκεν· ὁ οὖν πατὴρ τοῦ τεθνεῶτος παιδὸς κατηγορεῖ τοῦ χορευτοῦ ὡς αὐτοῦ πεποιηκότος τὸν φόνον· ἀπολογεῖται δὲ ὁ χορευτὴς τὸν φόνον ἀρνούμενος.

§ 1. Ἥδιστον μέν, ὦ ἄνδρες δικασταί, ἀνθρώπῳ ὄντι μὴ γενέσθαι[2] μηδένα κίνδυνον περὶ τοῦ σώματος, καὶ εὐχόμενος ἄν τις ταῦτα εὔξαιτο· εἰ δ᾽ ἄρα τις καὶ ἠναγκάζετο κινδυνεύειν, τοῦτο γοῦν ὑπάρχειν, ὃ μέγιστον ἐγὼ νομίζω ἐν πράγματι τοιούτῳ, αὐτὸν ἑαυτῷ συνειδέναι μηδὲν ἐξαμαρτηκότι, ἀλλ᾽ εἴτις συμφορὰ γένοιτο, ἄνευ κακότητος καὶ αἰσχύνης γίγνεσθαι, καὶ τύχῃ μᾶλλον ἢ ἀδικίᾳ. Καὶ τοὺς μὲν νόμους, οἳ κεῖνται περὶ τῶν τοιούτων, πάντες ἂν ἐπαινέσειαν, κάλλιστα νόμων κεῖσθαι καὶ ὁσιώτατα. Ὑπάρχει μὲν γὰρ αὐτοῖς ἀρχαιοτάτοις εἶναι ἐν τῇ γῇ ταύτῃ, ἔπειτα τοὺς αὐτοὺς ἀεὶ περὶ τῶν αὐτῶν· ὅπερ μέγιστον σημεῖον νόμων καλῶς κειμένων. Ὁ χρόνος γὰρ καὶ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα διδάσκει τοὺς ἀνθρώπους. Ὥστ᾽ οὐ δεῖ ἐκ τῶν λόγων τοῦ κατηγοροῦντος ὑμᾶς τοὺς νόμους μαθεῖν, εἰ καλῶς ἔχουσιν, ἢ μή, ἀλλ᾽ ἐκ τῶν νόμων τοὺς τούτων λόγους, εἰ ὀρθῶς ὑμᾶς καὶ νομίμως διδάσκουσιν, ἢ οὔ.

§ 2. Ὁ μὲν οὖν ἀγὼν ἐμοὶ μέγιστος τῷ κινδυνεύοντι καὶ διω-

§ 1. 2. Μὴ γενέσθαι.) Ὑπακούεται, Αὐτοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΙΣΘΗΤΙΚΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Α. της Κ.τ.Π. 2006 ΙΩΑΝΝΙΝΑ